ΔΙ Οὐκ … σώζεται καὶ εἰς τὸν οἶκον τὸν αὐτοῦ εἰσαγαγεῖν δυνήσονται φιλανθρωπίᾳ δὲ τῇ σῇ θαρρῶ καὶ διὰ ταύτης
εἰσέρχομαι· ναὸς δὲ καὶ οἶκος θεοῦ ἡ ἁγία καὶ ἐνάρετος κατάστασις· ἤδη οἱ ἔχοντες μετὰ παρρησίας φησὶ Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ·
οὗ οἶκός ἐσμεν ἡμεῖς· οὐκ ἔτι δὲ … παρ' ἐμοὶ κατορθοῦν μόνον τὸ δίκαιον ὁ δὲ … καὶ προνοίᾳ
ταῦτα … τῆς ἐμῆς δυνάμεως ὑφαιροῦσιν … πρὸς ἐμποδίαν … δικαιοσύνης τὸ ἀληθὲς ἔχον καὶ τὸ ἰ-
σχυρὸν σχοίη αὐτῆς κατὰ τῶν ἐναντίων ΔΙΔΥΜΟΥ:

Ὁ προτιθέμενος ὀρθῶς φρονεῖν καὶ πράττειν· πολλοὺς ἐναντίους ἔχει ἀνθρώπους καὶ δαίμονας ἐπὶ τοῖς ἀγαθοῖς τῶν κατορθούντων
διαφθονουμένους· πρὸς οὓς … ἐπικαλεῖται σύμμαχον τὸν θεόν: ΕΥΣΕΒΙΟΥ

Χριστὸς δὲ ἡ δικαιοσύνη αὐτὸς γὰρ ἐγενήθη σοφία ἡμῖν ἀπὸ θεοῦ δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις: ΔΙΔΥΜΟΥ

ἐντεῦθεν δὲ γράφεται ἐνώπιόν μου τὴν ὁδόν σου· ἐπειδὴ ἡ μὲν ὁδὸς κατευθυνθῇ ἐνώπιον τοῦ θεοῦ· πλανηθεὶς οὐ λήψομαι πεῖραν· ἐάν
τε οὖν ἡ ὁδὸς ἐνώπιον ἡμῶν αὐτὴν ὁδεύσομεν προθύμως· … κατεύθυνον ὁ σύμμαχος ὁμαλισον εἴρηκεν· κατὰ τὸν
ἡσαΐαν … τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας· εἴρηται δὲ καὶ ἐν ἑτέροις ψαλμοῖς· … τὰ δικαιώ-
ματα … κατευθύνεσθαι· οὐκ ἔστι δὲ ταπεινοφρονοῦν διὰ τὴν ἰδίαν δικαιοσύνην ἐκκληρονομοῦσα κατευθῦναι· διὰ δὲ τοὺς

Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέ-
ους σου εἰσελεύσομαι εἰς τὸν
οἶκόν σου προσκυνήσω πρὸς
ναὸν ἅγιόν σου ἐν φόβῳ σου:
Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου
ἕνεκα τῶν ἐχθρῶν μου κατεύ-
θυνον ἐνώπιόν σου τὴν ὁδόν μου:
Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν
ἀλήθεια ἡ καρδία αὐτῶν ματαία:
Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν
ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν

ἀσεβεῖς αὐτὴν πολεμοῦντας· … ἐπιδέχεται· τοὶ γὰρ
ἐπιβουλεύοντες καὶ συμφώνους ἔχουσι τὴν γλῶτταν τοῖς λογισμοῖς·
καὶ τὴν δυσωδίαν πρόδηλον ἔχουσιν … λέγει δὲ τὴν
κατὰ τοῦ θεοῦ βλασφημίαν καὶ τῆς ἀκολασίας τὰ ῥήματα· ἅμα καὶ χα-
λεπώτερα τῶν προφερομένων ῥημάτων τὰ κεκρυμμένα δόλοι κα-
τὰ τῶν πέλας τυρεύονται: ΕΥΣΕΒΙΟΥ

ματαία δὲ καὶ τῶν ἔξω σοφῶν ἡ καρδία περὶ ὧν εἴρηται κύριος γινώσκει τοὺς
διαλογισμοὺς τῶν σοφῶν ὅτι εἰσὶ μάταιοι· … ἐν κρα-
… δόγματα· τὸν ζωοποιὸν τοῦ θεοῦ λόγον …

ΔΙ Ὁ δὲ … ἡ τοῦ θεοῦ δικαιοσύνη κατ' ἀρχὴν γνησίαν ἐπόμενος τῷ
θεῷ· κατὰ τὸ ὀπίσω κυρίου τοῦ θεοῦ σου πορεύσῃ· χορηγοῦντος … τὴν ἀρχήν:

ΘΕΟ … ἀντιγράφουσιν ἐνώπιόν μου τὴν ὁδόν σου ἔχει κατ' ἑβραῖον δὲ τῆς εὐ-
σεβοῦς ἔχεσθαι μανίας εἰ γὰρ ἡ ἡμετέρα ὁδὸς κατευθυνθῇ ἐνώπιον τοῦ
θεοῦ πλανηθεὶς οὐ λήψομαι πεῖραν ἐάν τε ἡ τοῦ θεοῦ ὁδὸς ἐνώπιον ἡμῶν κατευ-
θυνθῇ καὶ αὐτὴν ὁδεύσομεν καὶ πρὸς αὐτὸν προθύμως δραμοῦμεν …
τοίνυν ἡ κληρονομοῦσα … ὑπὸ τῆς … θεοῦ δικαιοσύνης κατευ-
θυνθῆναι δὲ αὐτῆς τὴν ὁδὸν καὶ …
ταύτην ὁ σύμμαχος τὴν διάνοιαν τέθεικεν ἀντὶ γὰρ τοῦ κατεύθυνον
ὁμαλισον εἴρηκεν … καὶ αὐτοῦ τοῦ χριστοῦ δι' ἡσαΐου ἔσται τὰ σκο-
λιὰ εἰς εὐθεῖαν καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας καὶ ἐν ἑτέροις δὲ ψαλμοῖς
ὁ μακάριος … τὰ δικαιώματά σου κατευθυνθῆναι καὶ τὴν
ὁδὸν αὐτοῦ … σφόδρα ταπεινοφροσύνης δὲ μεστὰ τῆς κληρονομούσης τὰ ῥήματα· οὐ γὰρ αἰτεῖ διὰ τὴν ἑαυτῆς δικαιοσύνην
κατευθυνθῆναι αὐτῆς τὴν ὁδόν ἀλλὰ διὰ τοὺς ἐχθροὺς … τοὺς ἀδίκως αὐτὴν πολεμοῦντας ἐκ τῶν
αὐτῶν … τῆς πονηρίας ἐπιτηδεύματα: ΘΕΟΔΩΡ ΑΝΤΙΟ:

τὸ δὲ ὁδήγησόν με καὶ κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου τὸ αὐτὸ λέγει ἀντὶ τοῦ ἐπαναγαγέ· τὸ γὰρ ἐνώπιόν σου ἀντὶ τοῦ προσεχῶς
κατεύθυνον ὁδὸν ἵνα ἐπαναγάγῃ τῶν πρόσθεν κατὰ τὴν ἰουδαϊκὴν … ἐν τῷ σιὼν ὄρει τοῦ θεοῦ διάγοντος· τὸ οὖν ἕνεκα
τῶν ἐχθρῶν μου διὰ μέσου πρὸς ἀμφότερα ἔχον τὴν ἀνταπόδοσιν ἐπαναγαγὼν … ἀπαλλάξαι τῶν κατεχόντων ἐχθρῶν
καὶ … ἐν τῇ δικαιοσύνῃ σου τουτέστιν καθὼς ἔθος σοί ἐστιν κρίνειν δικαίως … αὐτὸν ἀπαλλάξαι
δίκαιον τῶν ἐχθρῶν ἀπὸ τοῦ ἐκείνων τρόπου τὴν ἀπόδειξιν ποιούμενος:

ΗΣΥ Καὶ μαρτυρεῖ ὁ ἐχθρὸς ὁ ἀρχέκακος ὁ τὸν ἀδὰμ ἐν παραδείσῳ ψευσάμενος: ΘΕΟΔΩΡΟΥ:

τοῖς λόγοις αὐτῶν καὶ οἱ λογισμοὶ συμμαίνουσιν καὶ συνομολογεῖ τῷ στόματι ἡ διάνοια:

τῶν σοφῶν τοῦ αἰῶνος τούτου καὶ τῶν αἱρετικῶν· οὗτοι γὰρ ἀληθείας λόγους οὐκ ἴσασιν: ΘΕΟΔΩΡΟΥ

Οἱ κεκλεισμένοι τάφοι κεκρυμμένην ἔχουσι τὴν δυσοσμίαν· οἱ δὲ ἀνεῳγμένοι πολλὴν ἀποπέμπουσι τὴν δυσωδίαν· τοι-
αῦται καὶ οὗτοι φησὶν ἐρυγγάνουσιν ῥήματα πάσης ἀσεβείας καὶ δυσοσμίας μεστά· διὰ τούτων δὲ τῶν λόγων τὴν κατὰ τοῦ
θεοῦ βλασφημίαν αἰνίττεται καὶ τῆς ἀκολασίας καὶ ἀσελγείας ῥήματα: ΗΣΥΧΙΟΥ

Ὁρᾷς τίνι παραβάλλει τὰ τῶν τοιούτων στόματα· τάφους αὐτῶν προσαγορεύει τοὺς φάρυγγας σκολιῶς τοὺς ὄντας …
νεκρὰ τοὺς λόγους περιφέροντας αὐτῶν … κατὰ τὴν τάξιν τῆς εἰκόνος εὑρήσομεν: ΘΕΟΔΩΡΟΥ

χαλεπώτερα τῶν προφερομένων ῥημάτων τὰ κεκρυμμένα δόλους γὰρ κεχρημένοι μυρία τινὰ κατὰ τῶν πέλας τυρεύουσι:

ΗΣΥ Ἐπειδὴ τοῖς λόγοις φησὶ τοῖς δολίοις τὴν ὄψιν τῶν πραγμάτων συγχέουσιν καὶ τὸ τῆς ἀληθείας ὄργανον ὅπλον κακίας τὴν
γλῶτταν ἐποίησαν κρῖνον αὐτοὺς ὁ θεός· τουτέστιν ἔλεγξον κατάκρινον σαφῶς … λανθάνειν δόλιος δύναται:—

τοὺς ἐπιβουλεύοντάς μου ταῖς περὶ τῆς κληρονομίας ἐλπίσιν. οὗτοι γὰρ οἱ παραπικραίνουσι. κρῖνον· σοῦ γὰρ στοχάζειν σπουδάζον-
τος· πολεμοῦσιν ἐπιβουλεύοντες. κουφισθέντες καὶ αὐτοὺς ἐν τῷ θ(ε)ῷ ἤδη κριθέντας ὡς ἐλπίζω καὶ τοῦ πλήθους τῶν ἀσεβη-
μάτων ἐξωσθέντας γενομένους: ὠριγένους

ἀλλ᾽ ἑαυτοὺς γὰρ οὐδένα ὁ θ(εὸ)ς ἐξωθεῖ. οἱ γὰρ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ φησὶν ἀπολοῦνται: διδύμου

πῶς δὲ ἁρμόσει περὶ θ(εο)ῦ τὸ παρεπίκραναν σε· ὅταν τοίνυν ἐχόμενοι πάθη δοκεῖ περὶ καλεῖσθαι πάθεσιν. περὶ ἡμῶν γοῦν εἰ πεν-
θῶ λαθοῦ νόμου θ(εο)ῦ σου. κἀγὼ ἐπιλήσομαι τέκνων σου. ὁποῖον ἐστὶ καὶ παῦλος· ἔτι τις ἁμαρτίαν ποιεῖται. προφανοῦς δὲ λόγου ὅτι φησάντε
ἀποχωρεῖτε ἀπ᾽ ἐμοῦ ἐργάται ἀνομίας. οὐδέποτε ὑμᾶς ἔγνων. οὕτως ὁ τὴν πικροτάτην ἔχων κακίαν ἀξία πάσχων ὡς ἐ-
δρασε μοι ἐν αὐτοῦ πικραίνεσθαι τὸν θ(εό)ν. εἰ πρὸς ὃν ἡ τοιαύτη τύχη ἐγὼ παραπικραίνουσα παρεπίκραν τὴν. δίκαιός ἐστιν
οἶκος ὅτι τὸ ὄνομα αὐτοῦ παρεπίκραναν: θεοδώρου

ἀχθήτωσαν τοίνυν ὑπὸ τὴν σὴν κρίσιν ὡς δὲ ἔσονται καὶ διαμαρτῶσιν ὧν καταγνώσουσιν καθ᾽ ἡμῶν καὶ μαθέτωσαν διὰ τῆς πείρας
ὡς εἰς ὃν ἀρχὴν ὑφαίνουσιν καὶ δώσουσι ποινὴν τῶν τολμημάτων ἀξίαν: ἡσυχίου

τίς γὰρ αὐτῶν ἡ βουλή· σκελίσαι τὸν δίκαιον· ἐν τοίνυν μὴ ὀλισθῆσαι τῆς ὁδοῦ τῆς ἀληθινῆς μηδὲ προσκόψαι ὁ δίκαιος οὗτοι
τῆς ἑαυτῶν ἐλπίδος καὶ βουλῆς ἀποπίπτουσιν ἢ καὶ ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλίων αὐτῶν ἵνα κολασθέντες μάθωσιν
ὅτι ματαίως ἐκείνην κρίσιν ἐν τοῖς ἑξῆς ἐλογίζοντο: θεοδώρου

κατὰ σοῦ γὰρ τὸν πόλεμον ἐκίνησαν πρὸς τοὺς ἀνακειμένους σοι νικήσαντες τὴν παράταξιν:
οὐκ ἐν φθόνοις εἰ δὲ ὁ πολλαὶ ἀσεβείας ἐργάζονται ὅτι τὸν ἀγαθὸν τὸν πρᾶον τὸν φιλάνθρωπον διεκώλυσαν τῷ πλήθει παροξυνα-
ἔξωσον τοίνυν αὐτούς· τουτέστιν ἀπόρριψον ἢ γὰρ ἀπονοηθέντων τοῖς ἄλλοις ἐμποιεῖ καὶ κατάνυξιν: ὠριγένους

τῶν ἐπιβουλῶν καταλυθέντων ἡ εὐφροσύνη σου κατασκηνοῦντος ἐν αὐτοῖς εἰς αἰῶνα· καὶ πῶς γὰρ οὐκ ἀγαλλιάσονται οἱ θ(εο)ῦ πα-
ρεστηκότες ἐν ἰδίοις ναοῖς. ἐνοικοῦντι καὶ ἐμπεριπατοῦντι μακρύνεσθαι θ(εο)ῦ τῆς ἁμαρτίας αἰχμαλωτιζούσης θρήνων ἐπάξιον:

κρῖνον αὐτοὺς ὁ θ(εό)ς:
Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτοὺς ὅτι παρεπίκρανάν σε κ(ύρι)ε:
Καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ εἰς αἰῶνα ἀγαλλιάσονται καὶ κατασκηνώσεις ἐν αὐτοῖς: καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου ὅτι σὺ εὐλογήσεις δίκαιον κ(ύρι)ε ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς:~

τέλος δὲ ἐστὶ τῶν ἀγαθῶν ἀπολαύειν τὴν κληρονομίαν. καὶ κλῆρον ἔχειν ἐνοικοῦντα θ(εό)ν: εὐσεβίου καισαρείας

ἅμα καὶ ἐπὶ τῆς οὐρ(ανο)ῦ ἐπιδημίας εὐφρανθῆσαν οἱ τὴν αὐτοῦ παρουσίαν προσδοκήσαντες ἐνανθρώπησιν ἣν τοῖς προφήταις καὶ τοῖς νοοῦσι τὰ τοῦ τὸν ἠλπίζετο. ἐπιδημήσας γὰρ ὁ θ(εο)ῦ λόγος σὰρξ γενόμενος προσλήψεσιν κὸς ἡμᾶς σκηνώσει ἐν τοῖς πεπιστευκόσιν αὐτῷ. κατὰ τὸ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν. οἳ καὶ εἰς αἰῶνα ἀγαλλιάσονται ὁρῶντες τοῦ σαρκωθέντος λόγου τὴν δόξαν. ὡς μονογενοῦς παρὰ π(ατ)ρ(ό)ς πλήρης χάριτος καὶ ἀληθείας. οἳ καί φασιν. εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα χ(ριστό)ν ἀλλὰ νῦν οὐκέτι γινώσκομεν ἔχοντες θεωρίαν τῆς δόξης αὐτοῦ καθ᾽ ἣν μονογενὴς παρὰ π(ατ)ρ(ό)ς ἐστιν: θεοδώρου

τοῦτο δὲ τοὺς εἰς σὲ πεπιστευκότας εὐφροσύνης ἐμπλήσει καὶ παρέξει αὐτοῖς θυμηδίαν αἰώνιον. οὐχ ὁ ἐκείνων ὄλεθρος ἀλλ᾽ ἡ προμήθεια· πείθονται γὰρ ὡς ἐνοικεῖς ἐν αὐτοῖς καὶ ἐμπεριπατεῖς καὶ οἶκον αὐτοὺς αἱρούμενος ἀποφαίνεις: εὐσεβίου

οὐ τῆς λόγου καυχήσεως περὶ ἧς ὁ παῦλος φησὶν μηδὲ καυχᾶσθαι ἐν ἄλλοις· καὶ ὁ προφήτης· μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ καὶ τὰ ἑξῆς. οὐ τοιαύτη τυγχάνει ἡ τοῦ λέγοντος ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κ(υρίο)υ ἡμῶν ἰ(ησο)ῦ χ(ριστο)ῦ. καὶ ὁ καυχώμενος ἐν κ(υρί)ῳ καυχάσθω. τοιοῦτοι περὶ ὧν ὁ λόγος. ἠγαπηκότων αὐτοῦ τὸ ὄνομα προαιρέσει γὰρ οὐ φόβῳ τετιμηκότες ἐκαυχῶντο. αἰτία δ᾽ ἤδη καυχήσεως τὸ τῶν ἐπουρανίων τυγχάνειν εὐλογιῶν. περὶ ὧν φησὶν ὁ ἀπόστολος. εὐλογητὸς ὁ θ(εὸ)ς ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις. καὶ τέλος δὲ ἀγαθῶν τῆς ἐλπιζομένης κληρονομίας ὁ τῆς δικαιοσύνης στέφανος οὗ τεύξονται οἱ κατὰ παῦλον λέγειν δυνάμενοι· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. ὥσπερ εὐδοκήσεν ὁ θ(εὸ)ς ὅπλῳ χρήσασθαι φυλακτικῷ πάσης ἐφόδου πολεμίων ἐπὶ τῆς κατὰ τῶν οἰκείων αὐτοῦ: θεοδωρήτου

εὐδοκία δὲ κατὰ τὴν γραφὴν τὸ ἀγαθὸν θέλημα τοῦ θ(εο)ῦ κατὰ τὸ εὐδόκησας κ(ύρι)ε τὴν γῆν σου. ἀντὶ τοῦ ἀγαθὸν ἠθέλησας τὴν γῆν σου. καὶ παρὰ τῷ μακαρίῳ παύλῳ κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ. ἀντὶ τοῦ κατὰ τὸ ἀγαθὸν αὐτοῦ θέλημα. καὶ νῦν οὖν φησί. τὸ ἀγαθόν σου θέλημα καὶ ἡ ἀγάπη ὅπλον ἡμῖν γέγονεν ἀνίκητον προξενοῦν καὶ στέφανος ἐπινίκιος: θεοδώρου

τῆς γὰρ σῆς εὐλογίας τε καὶ προνοίας τοιούτοις χορηγουμένοις θαρροῦσι ταῖς οἱ στέφανος αὐτοὺς ἐρᾷς τοῦ σοῦ ὀνόματος καταφρονήσαντες ἐπὶ τῇ σῇ κηδεμονίᾳ μεγαλοφρονήσουσιν τὴν σὴν δὲ ἡγούμενοι δύναμιν. οὕτω καὶ ὁ μακάριος λέγει παῦλος· ὁ καυχώμενος ἐν κ(υρί)ῳ καυχάσθω: εὐσεβίου

καὶ ἐπὶ τοῦ παρόντος δὲ καυχήσονται οὐκ ἐπ᾽ ἄλλοις ἢ ἐπὶ μόνῳ τῷ ἠγαπηκέναι τὸ ὄνομά σου καὶ τῇ προαιρέσει καὶ στοργῇ καὶ διαθέσει ἀγαθῇ οὐ φόβῳ δὲ ἀνάγκῃ τὸ σὸν ὄνομα τετιμηκέναι αἴτιον δὲ ἐστι τῆς καυχήσεως αὐτοῖς τὸ εὐλογεῖσθαι ὑπὸ σοῦ πάντα δίκαιον τουτέστιν τυγχάνειν τῶν ἐπουρανίων εὐλογιῶν: ἡσυχίου

ἄλλοι ἐν πλούτῳ ἄλλοι ἐν δυναστείᾳ ἢ ἐν δόξῃ ἢ ἐν κάλλει ἢ καὶ τοιούτοις ἑτέροις σεμνύνονται οἱ δὲ ἀγαπῶντες τὸ ὄνομά σου ἐν σοὶ καυχήσονται σὲ γὰρ ἀντὶ πάντων κληρονομίαν κέκτηνται. ὡς γε εἰ θ(εο)ῦ ἀγαπῶμεν τὸ ὄνομα καὶ μὴ μάτην χριστιανοὶ ἀλλ᾽ ἀληθῶς τοῦ χ(ριστο)ῦ τὴν προσηγορίαν κεκλήμεθα. μηδενὶ τῶν κοσμικῶν μόνῳ δὲ ἐν αὐτῷ καυχησώμεθα:

στέφανον φησὶν ἡμῖν τῶν πόνων χαρίσῃ τὸ τέλος τούτων καθάπερ ὅπλῳ τινὶ περιφράττων ἡμᾶς: θεοδώρου

ὥσπερ ὅπλῳ τῇ εὐαρεστήσει ἐστεφάνωσας ἡμᾶς τουτέστιν τῇ σφοδρᾷ ἀσφαλεστάτῃ κουφοτέρᾳ τῆς εὐαρεστήσεώς σου ἵνα ἀφθονὴν παρασχεῖν ἡμῖν ἠρέσθης καὶ ἧς ἐθελοκίνδυνος μέγα δοῦναι ἡμῖν ἀσφαλείας ταύτῃ ἐπιδόξους καὶ ἐντίμους κατέστησας ἀμαυρεῖς ἡμᾶς ὑπὸ τῶν πολεμίων παρατηρήσας καλῶς ὅπλον καλέσας τὴν τοῦ θ(εο)ῦ βοήθειαν:

ὅπλον καὶ στέφανος ὁ π(ατ)ὴρ· ὅπλον διὰ τοὺς πολεμοῦντας· στέφανος διὰ τοὺς νικῶντας· ὅπλον διὰ τοὺς στρατιώτας σημεῖα κοπιῶντας· στέφανος διὰ τοὺς βασιλεύοντας:~

Ὀγδόη ἡ ἀνάστασιμος τοῦ σωτῆρος ἡμέρα κυριακὴ ὁρίζεται, ἐν ᾗ πάντων ἁμαρτημάτων καθάρσιον εἶναι πιστεύομεν· ἐν ᾗ σωμα-
λικῶς μὲν ἅπαν περιτέμνεται βρέφος· κατὰ δὲ τὸ ἀληθὲς καθαίρεται διὰ μιᾶς ἐν ᾗ σωθῶσι πᾶσα ἐν Χριστῷ ψυχὴ γεννωμένη.
τοσοῦτον δὲ κρείττων αὕτη τῆς ἑβδόμης ὡς ἐν αὐτῇ λύεσθαι τὴν περὶ τοῦ σαββάτου νομοθεσίαν εἰ καὶ τὰ λοιπὰ κατ᾽ αὐτὴν
ἡ τοῦ ὑψίστου ὀγδόη περιτέμνεται γὰρ ἄρσεν ἐν σώματι: ΔΙΔΥΜΟΥ

Εἰς τὸ τέλος ἀνάγεται ὁ ἐπιγραφόμενος ψαλμὸς ἔχων ἐν ὕμνοις ἐν περιοχῇ· διὸ δὲ τὸ τέλος ἄγεται τοῖς τελειοτάτοις εἶναι τὰ περὶ τῆς ὀγδό-
ης θεωρήματα. τὴν κυρίως ἔχων περιτομὴν τῷ περιτέμνεσθαι. τὴν δὲ σαρκικὴν οὐ πάντως· διό φησιν ὁ προ-
φήτης· περιτμήθητε τῷ θεῷ ὑμῶν καὶ μὴ περιτέμνεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν· καὶ πάλιν· πάντα τὰ ἔθνη
ἀπερίτμητα σαρκί, ὁ δὲ οἶκος Ἰσραὴλ ἀπερίτμητοι καρδίας αὐτῶν· ὁ περὶ τοῖς νῦν αἰσθητῶς περιτεμνόμενος περιαιρεῖται
τοῦ ὕλην ἔχοντος γενέσει μέλλους. οὕτως ὁ πάντα φιλῶν γενέσει λογισμὸν ἐκκαλῶν περιτέμνεται τὴν καρδίαν· ὡς
οἱ γνήσιοι ἀμοιβὴν μεριμνῶντες τὰ τοῦ κυρίου, ἵνα αὐτῷ ἀρέσωσιν. ἐν ὀγδόῃ δὲ ἡμέρᾳ ἡ τοιαύτη κατορθοῦται περιτομή.
δεῖ γὰρ ὑπερβαίνειν τὸν ἐν ἓξ ἡμέραις γενόμενον κόσμον ἐν τῇ ἑβδόμῃ γενέσθαι οὐσίᾳ ἀληθινῇ σωματικοῖς
καὶ τρυφεροῖς. καὶ ἐπεὶ οὐκ ἀρκεῖ προσβλέπειν ἀμμακαριότητα τὸ τῶν κοσμικῶν γινομένων ἀργίαν, δεῖ προσλαμβάνειν
τὴν ὑπὲρ κόσμον ὑπὲρ ταύτην κατάστασιν. οὗ σαφῶς ὀγδόην ὁ ταύτης πειραθῆναι ποθῶν καὶ ἀπολύσει τὸν κόσμον οὐ
δεῖται ἐν αὐτῷ. ὅτι δὲ προφαίνει τὴν ὀνομαστὴν νόησιν ὀγδόη, δῆλον ἐκ τοῦ φθείρειν ἀπειλὴν ὀλοθρευθέντος κατὰ τοῦ
μὴ τῇ ὀγδόῃ περιτμηθέντος ἡμέρᾳ παιδίου. ἀλλὰ μὴ κατὰ τῶν γονέων ἢ τῶν ἄλλων τὸ παιδίον ἀνατρεφόντων· οὐ γὰρ
ἀκόλουθον ἀπειλεῖσθαι θάνατον τῷ μὴ δυνηθέντι λαμβάνειν τὴν ἐντολήν: ΘΕΟΔΩΡΗ(του)

Ὀγδόην δὲ τὴν μέλλουσαν κατάστασιν ἡ προφητεία καλεῖ· ἐπειδὴ ὥσπερ ὁ παρὼν αἰὼν δι᾽ ἡμερῶν ζ τῆς ἑβδομάδος ἀνα-
κυκλεῖται, ἡ δὲ ὀγδόη παραδραμοῦσα τὴν ἑβδόμην ὑπὲρ ταύτην καθίσταται· ἐν δὲ τῷ παρόντι ψαλμῷ μνημονεύει θανά-
του καὶ κρίσεως· λέγει γὰρ οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι· οὐ γὰρ ἔστιν ἐκεῖ
μετάνοια· ὡς ἐκ τῆς παραβολῆς τῶν μωρῶν παρθένων δῆλον, καὶ μὲν πρὸς ἃς ἐπὶ κρουούσας ὑπ᾽ αὐτοῦ· οὐκ οἶδα ὑμᾶς·
διὸ νῦν ὁ Δαυὶδ μετὰ τὴν διπλῆν ἁμαρτίαν εἰσακουσθῆναι παρακαλεῖ: ΑΣΤΕΡΙΟΥ

Μαθὼν γὰρ ἐκ τοῦ πρὸ τούτου ψαλμοῦ περὶ τῶν κληρονομούντων ὡς εὐφρανθήσονται· περὶ δὲ τῶν ἀποκληρονομούντων ἀκούσας
οἷς πάροικοι οὐ πονηροί· καὶ ὅτι ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται κύριος· αὐτὸς δὲ δόλῳ τὸν Οὐρίαν ἀνεῖλεν· καὶ ὅτι
πᾶς πόρνος ἢ ἀκάθαρτος οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ·
ἵνα μὴ ἀποκληρόνομος διὰ τὸ ἄρσος γένηται, τὸν ὑπὲρ τῆς ὀγδόης καὶ
τῆς ἀφ᾽ ἡμερῶν ἀναστάσεως ψαλμὸν παρεκάλει· ἐπειδὴ μοιχεία καὶ
φόνος τῆς κληρονομίας ἐκκαλοῦσιν: ΘΕΟΔΩΡΟΥ

Ὀγδόην τὴν μέλλουσαν κατάστασιν ὁ προφητικὸς λόγος καλεῖ· ἐπειδὴ
γὰρ ὁ παρὼν χρόνος διὰ τῶν ἑπτὰ τῆς ἑβδομάδος ἡμερῶν ἀνακυκλοῦ-
ται· ἀπὸ γὰρ τῆς πρώτης ὁ χρόνος ἀρχόμενος καὶ λήγων εἰς τὴν ἑβδόμην
πάλιν εἰς τὴν πρώτην ἐπάνεισι· καὶ οὕτως εἰς τὴν ἑβδόμην χωρεῖ·
ἐκεῖνον τὸ ἑξῆς τοῦ ἑβδοματικοῦ ἀριθμοῦ αἰῶνα ὀγδόην ὁ θεῖος προ-
ηγόρευσε λόγος· μέμνηται δὲ θανάτου καὶ κρίσεως ἐν τῷδε τῷ ψαλ-
μῷ· διὸ καὶ ταύτην τέθεικεν τὴν ἐπιγραφήν· λέγει γὰρ οὐκ ἔστιν ἐν τῷ
θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι ἀντὶ τοῦ
ἀποκέκλεισται τοῖς ἐντεῦθεν ἐξιοῦσι τῆς μετανοίας ἡ θύρα καὶ οὐχὶ
ὥσπερ τοὺς μὴ κατὰ τὸν παρόντα βίον τοῖς τῆς μετανοίας χρωμένοις
φαρμάκοις ἐκεῖ τὴν ὑπὲρ τῆς ἁμαρτίας ἐξομολόγησιν προσενεγκεῖν
τῷ θεῷ· μαρτυρεῖ δὲ τούτοις τοῖς λόγοις καὶ ἡ τῶν παρθένων παρα-
βολή· καὶ γὰρ δὴ ἐκεῖ ἐμάθομεν ὡς αἱ μωραὶ παρθένοι σβεσθει-
σῶν τῶν λαμπάδων ἐπείγοντες ζητοῦσαι τοῦ νυμφῶνος θυρῶν παι-
ουσαι μὲν τὰς θύρας ἀπωθούμεναι δὲ καὶ τῆς παστάδος ἀπωθού-
μεναι· ἐν ᾧ γὰρ προσῆπται ὑπ᾽ αὐτοῦ· οὐκ οἶδα ὑμᾶς διὰ τοι τοῦτο
καὶ ὁ μακάριος Δαυὶδ μετὰ τὴν διπλῆν ἐκείνην ἁμαρτίαν ταύτην τῷ θεῷ προσφέρει τὴν ἱκετείαν ἰατρευθῆναι παρακα-
λῶν ὡς μὴ χώραν ἔχοντι ἐν ἐκείνῳ τῷ αἰῶνι τῶν τῆς μετανοίας φαρμάκων: ΑΣΤΕΡΙΟΥ

Καὶ πῶς ὁ φεύγεις τὸν μακαρισμὸν ἀποφεύγων ἔλεγχον καὶ παιδείαν· εἴρηται γὰρ ἐν Ἰώβ· μακάριος ἄνθρωπος ὃν ἤλεγξεν ὁ
θεὸς ἐπὶ τῆς γῆς. ἐν ψαλμοῖς δέ που καὶ σύ· μακάριος ἄνθρωπος ὃν ἂν παιδεύσῃς κύριε· ἀλλ᾽ οὐ τὸν ἔλεγχον φεύγω φησίν· ἀλλὰ τὸν μετὰ θυμοῦ·
οὐδὲ τὴν παιδείαν. ἀλλὰ τὴν μετ᾽ ὀργῆς· ταῦτα γὰρ περιμένει τοὺς μὴ κατὰ τὸν παρόντα βίον μεταμελησαμένους ὡς οὖν καὶ ζῶ
ἐγὼ ἐκ μετανοίας ἐμαυτὸν ὥσπερ ὀφείλω τιμωρούμενος· ἀξιῶ δὲ καὶ πατρικῶς ἀλλὰ μὴ δικαστικῶς παιδευθῆναι·
μὴ γὰρ μετρήσῃς τῇ ἁμαρτίᾳ τὴν τιμωρίαν· ἀλλὰ φιλανθρωπίᾳ τὸ δίκαιον κέρασον: ΔΙΔΥΜΟΥ

Αἰσθήσει δὲ ἐπὶ παιδείαν ἐλαυνόμενος λέγει ὀργὴν κυρίου ὑποίσω ὅτι ἥμαρτον αὐτῷ ἕως οὗ δικαιώσῃ τὴν κρίσιν μου καὶ ποιήσῃ
τὸ κρίμα μου καὶ ἐξάξει με εἰς τὸ φῶς· οἱ δὲ ἀφιλοσόφως ἐδεήθησαν χάριν ἢ κρίσεως. καὶ τοιοῦτον ἔχει τὸ πέρας. ἀλλὰ τὸν μετ᾽ ὀργῆς
ἐλέγχου ὁ δι᾽ ἀλόγου διδασκαλίας ἀμείνονα τὴν μεταμέλειαν ἔχων ἑκούσιον. ἐκεῖνον μὲν ἀπαιτεῖ τὸ ἑκούσιον ἔχοντος πε-
ρὶ δὲ τοῦ δι᾽ ἀλόγου καὶ Παῦλος ἔφη· τὰ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· ὁ γὰρ διὰ φωτὸς φανερούμενος ἐστὶν
ἀπολογίζεσθαι τρόπον γινομένη· οὐχ ἁμαρτωλῶν μόνον. ἀλλὰ καὶ δικαίων φωτίζοντος τοῦ θεοῦ τὰ κρυπτὰ τῶν ἁμαρτω-
λῶν δι᾽ ἀγνοίας καὶ κακίας σκότος ὀνομασμένων· καὶ φανεροῦντος τὰς βουλὰς τῶν καρδιῶν τῶν δικαίων· πλὴν ἐκεῖ καὶ
πονηροὺς ὁ θυμὸς ἐστὶ καὶ ἡ παιδεία ἀλλ᾽ ἐπὶ τέλει χρηστοὶ καὶ λυτικοὶ ὄντες κακίας καὶ ἀσεβείας· τοιγαροῦν ὁ πει-
ραθεὶς τοῦ διὰ τούτων χρησίμου. ἐν λογισμῷ εἰκότως φησὶν ὅτι ὀργισθήσομαι εἰς σωτηρίαν· ἀποστρέψας τὸ πρόσωπόν σου καὶ
ἠλέησάς με· καὶ αὐτὸς δὲ φανεροῖ τὴν ἐκ κεκριμένην ὑπὸ θεοῦ ἐπὶ τῇ ὀργῇ αὐτοῦ ἀναθόντα λέγων· ὅταν ὀργὴ τοῦ θυμοῦ
μου γένηται πάλιν ἰάσομαι. εἰ γὰρ καὶ ἀποκαλύπτεται ὀργὴ θεοῦ ἀπ᾽ οὐρανοῦ. ἀλλ᾽ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων·
ἀναιρετικὴ τούτων ὑπάρχουσα· ὅτι δὲ μὴ πάθος ἐπὶ θεοῦ ἡ ὀργὴ δῆλοι λέγων ὁ Μωϋσῆς· ἀπέστειλας τὴν ὀργήν σου
καὶ κατέφαγεν αὐτοὺς ὡς καλάμην. ἡ ὀργὴ γὰρ τὸ πάθος οὐ κατὰ ποιότητα θυμικὴν δύναμιν οὐσίαν τυγχάνει. τὴν δὲ τῶν
ἐπιπόνων ἐπαγωγὴν τοῖς ἁμαρτωλοῖς ὀργὴν εἶναι τοιούτοις φησίν: ΘΕΟΔΩΡΟΥ

Οὐ παρακαλεῖ μὴ ἐλεγχθῆναι ἀλλὰ μὴ θυμῷ ἐλεγχθῆναι· οὐδὲ ἱκετεύει μὴ παιδευθῆναι ἀλλὰ μὴ μετ᾽ ὀργῆς· τοῦτο παθεῖν πατρι-
κῶς μὲν ἠξίου παιδευθῆναι μὴ δικαστικῶς· ἰατρικῶς μὴ κολαστικῶς μὴ μετρήσῃς τῇ ἁμαρτίᾳ τὴν τιμωρίαν ἀλλὰ τῇ φιλανθρωπίᾳ
τὸ δίκαιον κέρασον: ΘΕΟΔ(ωρήτου) ΑΝΤΙΟΧ(είας) ἐξομολογεῖται τῷ θεῷ ὁ μακάριος Δαυὶδ περὶ τῆς ἰδίας ἁμαρτίας ἣν εἰργάσατο συγκα-
τάθεσιν τῆς βουλῆς. λέγει δὲ αὐτὰ ἐν συμφοραῖς ὢν ἐν ἔργοις καὶ ἐξιλεοῦται ἐξ αὐτῶν τὴν ἁμαρτίαν: ΗΣΥΧΙΟΥ

Ἐὰν γὰρ ἐλέγξῃς με μετὰ θυμοῦ οὐ διὰ τὴν κρίσιν ὑφίσταται ἐὰν ὀργῇ παιδεύσῃς ἀφόρητος ἡμῖν ἡ παιδεία ὡς ἀσθενέσιν· ὀργιζόμενος
γινέσθω διὰ τοῦτο ἀκούομεν ἡμεῖς ὅτι τῶν ἀποστόλων καθηγητὴς ἔλεος κατακαυχᾶται ἔλεος κρίσεως ἵνα τὴν ἐλεημοσύνην
προσεύξοντες καταισχῦναι τῆς κρίσεως κατὰ καιρὸν τῇ ὀργῇ ἐκκλίναντες ἀσφαλῶς ὠφελώμεθα:

ϛ

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΕΝ ΥΜΝΟΙΣ ΥΠΕΡ ΤΗΣ ΟΓΔΟΗΣ ΨΑΛΜΟΣ ΤΩ ΔΑΔ

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με:

ἐξ ἀσθενείας γὰρ ἅπαν ἁμάρτημα γίνεται· προφανῶς οὖν [illegible] τῆς ψυχῆς ἐνδηλοῦσα· διὸ καταφεύγει πρὸς τὸν ὁρῶντα καὶ ἰατρὸν [illegible] τοῦ θεοῦ· ἐγγενόμενος γὰρ ψυχῇ τῇ λογικῇ ὥσπερ ἐν λόγος θεοῦ· τὴν ἀλογίαν αὐτῆς ἀφαιρεῖται· ὡς δὲ σοφία τῆς ἀφροσύνης αὐτῆς [illegible] καὶ ὡς δικαιοσύνη τῆς ἀδικίας καὶ ὡς ἀλήθεια τοῦ ψεύδους [illegible] ψυχῆς ὑποφαίνει δυνάμεις· ἐταράχθαι φησὶν αὐτοῦ τὰ ὀστᾶ [illegible] καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· ἴασις δὲ ἀσθενείας ψυχῆς ἡ ἐκ θεοῦ δύναμις [illegible] τὰ ὀστᾶ [illegible] τὸ πάντα τὰ ὀστᾶ μου ἐροῦσι· κύριε κύριε τίς ὅμοιός σοι· καὶ τὸ διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην: ΘΕΟΔΩΡ

ἁρμόττουσι τοῖς ἁμαρτικοῖς [illegible] ἀσθενείας γὰρ ἡγούμενοι τὴν ἁμαρτίαν [illegible] λογικὸν [illegible] ἐπειδὴ πᾶσα ἁμαρτία ἐξ ἀσθενείας συμβαίνει [illegible] τῆς ψυχῆς [illegible] ἰατρὸν τοῦ θεοῦ [illegible] τῆς λογικῆς ψυχῆς [illegible] θεραπεύειν:

ΗΣΥΧ [illegible] τὸ ἔλεος τοῦ θεοῦ παραγίνεται: ΘΕΟΔΩΡ [illegible] τοὺς λογισμοὺς ὀνομάζει [illegible] ΘΕΟΔΩΡ ΑΝΤΙ [illegible] ΗΣΥΧΙΟΥ [illegible]

Ἐλέησόν με κύριε ὅτι ἀσθενής εἰμι· ἴασαί με κύριε ὅτι ἐταράχθη τὰ ὀστᾶ μου καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σὺ κύριε ἕως πότε:

Ἐπίστρεψον κύριε ῥῦσαι τὴν ψυχήν μου σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου:

Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι:

Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω:

[illegible] ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡ [illegible] ΔΙΔΥΜΟΥ [illegible] ΘΕΟΔΩΡΗ [illegible] ΘΕΟΔΩΡ [illegible]

[illegible] ΘΕΟΔΩΡ [illegible] ΔΙΔΥΜΟΥ [illegible] ΘΕΟΔΩΡΟΥ [illegible] οὐκ ἔστιν φησὶν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου [illegible] ΕΥΣΕΒΙΟΥ [illegible] ΘΕΟΔΩΡ [illegible] λούσω καθ' ἑκάστην νύκτα [illegible] τὴν κλίνην μου [illegible] τὴν στρωμνήν μου [illegible]

ΕΥΣ ΚΑΙΣΑΡ

ἡμῖν ἡ μῆνις φησὶ τοῦ θυμοῦ σου καὶ τῆς ὀργῆς τὸν ἐμὸν ἐτάραξεν νοῦν· ὃ δὴ διδάσκων ὁ σωτὴρ ἔλεγεν· ὁ λύχνος τοῦ σώματος ἐστὶν ὁ ὀφθαλμός· οὐ γὰρ ἐχώρει ἐν ἄλλῳ τὸν διανοίας ὀφθαλμὸν τοῦ σώματος λύχνον εἶναι· ἀλλ' οὐδὲ σωματικὸς ὀφθαλμὸς ὑπὸ θυμοῦ ταράσσεσθαι τοῦ θεοῦ· ἀντὶ κατορθώματος δὲ καταριθμεῖται· τὰς ἰδίας κακοπαθείας· ἐν αἷς καὶ τὴν κάκωσίν τε καὶ ταπείνωσιν ἣν ἐπὶ πλεῖστον χρόνον ἐν μέσοις ἐποιεῖτο τοῖς ἰδίοις ἐχθροῖς: ΘΕΟΔΩΡΗΤΟΥ:

ἢ ὅτι γεγηρακέναι μέ φησι τὰ τῶν ἐχθρῶν ὀνείδη πεποίηκεν: ΔΙΔΥΜΟΥ·

λέγοις δ' ἂν καὶ οὕτως· πρὶν ἁμαρτεῖν ὁ δίκαιος ὢν ἐνεάζον· ἀεὶ ζῶν κατὰ τὴν καινότητα τοῦ πνς· καὶ τὴν καινὴν διαθήκην· ἡμαρτηκὼς δὲ παρὰ τοῖς ἐχθροῖς γενόμενος ἐπαλαιώθην· κατὰ τὸ ἀποδύσασθαι τὸν παλαιὸν ἄνθρωπον· τοῦτο γὰρ ὁμοιωθῆναι ἀποτίθεσθαι Παῦλος παραινεῖ ἐστὶ τὸν φαῦλον νοῦν δηλῶν· ἵνα ἐνδυσώμεθα τὸν νέον ἄνθρωπον τὸν κατὰ θεὸν κτισθέντα· ἐν ὁσιότητι καὶ γνώσει τῆς ἀληθείας: ΘΕΟΔΩΡΟΥ

Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου· ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου:

Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ὅτι εἰσήκουσε κς τῆς φωνῆς τοῦ κλαυθμοῦ μου· εἰσήκουσε κς τῆς δεήσεώς μου· κς τὴν προσευχήν μου προσεδέξατο:

Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου· ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους:

ἀπό μου τὸ ὀπτικὸν τῆς διανοίας ἐτάρακται διὰ τὴν σὴν ἀγανάκτησιν· διὰ τοῦ ὀφθαλμοῦ γὰρ ἐνταῦθα τὸν νοῦν προσηγόρευσεν διὸ καὶ ἑνὸς ἐμνημόνευσεν: ΘΕΟΔΩΡΟΥ

ἀπὸ θυμοῦ τοῦ θεοῦ τουτέστιν τοῦ θεοῦ ὀργισθέντος ἐν τοσαύτῃ κατέστην ταραχῇ ὡς μηδὲ διορᾶν δύνασθαι τοῦ λοιποῦ: ΑΛΛ —

τὸν νοῦν φησίν· οὗτος γάρ ἐστιν τῆς ψυχῆς ὀφθαλμός: ΘΕΟΔΩΡΟΥ:

πάντων μοί φησιν χαλεπώτερα τῶν ἐχθρῶν τὰ ὀνείδη· ταῦτα γάρ με δαπανᾷ καὶ κατατήκει καὶ γῆρας ἄωρον ἐπιφέρει: ΘΕΟΔΩΡΟΥ:

μηκέτι φησὶν ἐπὶ τὸ σφάζεσθαι οἱ τὰς οἰκείας μὲν ὑποχορηγοῦντες παρανομίας· τὰ δὲ ἐμὰ πλημμελήματα κωμῳδοῦντες· τῆς θείας γὰρ ἔτυχον εὐμενείας καὶ πίστει καὶ δάκρυα αἴτιον λύσεως παρειλήφειν τὰ πλημμελήματα μετὰ δακρύων δὲ συγγνώμης: ΔΙΔΥΜΟΥ

ἀρετῆς προθέσει εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν· θέλει γὰρ αὐτοὺς αἰσχυνθῆναι ἐφ' οἷς ἔπραττον ἀδικίαις καὶ ἐχθροὶ τοῦ θεοῦ καὶ τῶν δικαίων ἦσαν ἔτι δὲ τοῦτο αὐτοῖς ἐπωφελές· ὁ γὰρ ἐξαισθηθεὶς αἰσχυνθεὶς καὶ ταραχθεὶς ἐπὶ τῇ ἐνεργουμένῃ ὑπ' αὐτοῦ κακίᾳ καταλήγει αὐτῆς πεπαῦσθαι τοῦ ἐνεργεῖν: ΗΣΥΧΙΟΥ

Ὁρᾷς ὅσον τὴν ἀποστροφὴν τῶν ἐργατῶν τῆς ἀνομίας εἶναι ἀγαθὸν ἐν τῷ λογισμῷ τοῦ τε ὁ θεὸς τὰς ἡμέρας δεήσεις ἕτοιμος καὶ τὴν προσευχὴν δέχεσθαι: ὨΡΙΓΕΝΟΥΣ

μονήσεις ταῦτα λέγεσθαι καὶ πρὸ αὐτοῦ τὴν σκευὴν αὐτῶν καταγαλαμβάνοντας ἀοράτους ἐχθροὺς διαφθονουμένους τῇ κατὰ θεὸν αὐτοῦ προκοπῇ καὶ μετὰ τὴν ἁμαρτίαν ἐπεμβαίνοντας· ἐν οἷς ἐλέγομεν κεκτῆσθαι αὐτοὺς ἐν τῷ [illegible] αὐτοῦ: ΘΕΟΔΩΡΟΥ

ταῦτα τοίνυν εἰδότες παύσασθαι μὲν ἐμοὶ τὰ ὀνείδη προσφέροντες· τὰς δὲ οἰκείας ἐννοοῦντες παρανομίας αἰσχύνης καὶ θορύβου καὶ ταραχῆς ἀναπλήσθητε· δίκαιον γὰρ καὶ φοβεῖσθαι μετὰ τὸ θεῖον κριτήριον: ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡ:

ἐπήκοος τυχὼν τοῦ θεοῦ ἐπιστρέφει πάλιν πρὸς αὐτὸν τὴν εὐχὴν καὶ παρακαλεῖ πρὸ τοῦ ἀναχωρῆσαι καὶ αἰσχυνθῆναι αὐτοῦ τοὺς ἐχθροὺς ἀποτυχόντας ἐν οἷς ἐπεβούλευσαν· διὰ τὴν παντὸς θεοῦ σωτηρίαν παρέσχετο· ἀξιοῖ δὲ καὶ λίαν αὐτοὺς ταραχθῆναι· οὐ δὴ παντὸς αὐτῶν κατὰ τὸν καιρὸν τῆς τοῦ θεοῦ δικαιοκρισίας ἐκδέξεται: ΔΙΔΥΜΟΥ

λέγοις δ' ἂν αὐτὸν εὔχεσθαι τοῖς ἐχθροῖς ἀγαθὰ θέλοντα τούτους ἐφ' οἷς ἔπραττον αἰσχυνθῆναι διὰ τὸ ὑβρίσαι ἐχθροὶ τὸν δίκαιον καὶ τοῦ θεοῦ· διαισθηθέντες γὰρ αἰσχυνθέντες ἐπὶ τῇ κακίᾳ παύσονται κατ' αὐτὴν ἐνεργοῦντες ὁ δὴ λοιπὸν καὶ τὸ ἐπιστραφείησαν εἰς τὸ ὀπίσω· μηκέτι τῆς κακίας ἔμπροσθεν ἐλαύνοντες· ἀλλ' ἀνακάμπτοντες εἰς τὴν κατελείπον ἀρετήν· οὐ δὴ μὴ γινέσθω δὴ ὑπερτίθεσθαι μηδὲ ἀμελεῖν ὁπόσοις· ἀλλὰ σφόδρα καὶ διὰ τάχους: ὨΡΙΓΕΝΟΥΣ:

ἀλλὰ καὶ καταισχύνεσθαι τὰ ἀντιπαλαίοντα· ὅτε καὶ ἄνθρωπος κρείσσων τῶν τηλικούτων εὑρίσκεται· καὶ τῇ ἑαυτοῦ παρατυγχάνοι σοφίᾳ συγχέονται· ταχὺ δὲ καὶ ἐπιστρέφει αὐτὰ αἰσχυνθέντα καὶ τάχεως ὁ λόγος τοῦτο ποιεῖ:

ἐν ταῖς βασιλείαις ὁ Χουσὶ ἀρχὶ ἑταῖρος μὲν τοῦ Δαβὶδ, υἱὸς δὲ ἀρχὶ ἱστόρηται· ἐν ταύταις δὲ Ἰεμενεὶ μνήμης τε· τοίνυν ἐπεὶ ὑπὲρ
τοῦ Δαβὶδ ὑπεραγαθὴ προσποίησιν φιλίας προσχωρήσας τῷ Ἀβεσσαλώμ· καὶ τὴν τοῦ Ἀχιτόφελ διασκεδάσας βουλὴν
εἰσηγουμένου χωρὶς μελλήσεως ἀπαρασκεύοις τοῖς Δαβὶδ ἐπιθέσθαι· τῷ δὲ παρὰ τὸ πέρας αὐτὸς ἐμποιήσας διατριβὰς πρὸς τὸ
δοῦναι καιρὸν τῷ Δαβὶδ συλλέξασθαι τὰς δυνάμεις· ὅπως ἐπαγγελίᾳ φησὶ κύριος ἐπὶ Ἀβεσσαλὼμ τὰ κακὰ πάντα· καὶ τῷ Δαβὶδ ἐδή-
λου διὰ Σαδδοὺκ καὶ Ἀβιαθὰρ τῶν ἱερέων πεῖθεσθαι ἐπὶ τὴν διάβασιν· ἄξιος γενόμενος τῷ Δαβὶδ υἱὸς Ἰεμενεὶ· τουτέστι τῆς
δεξιᾶς ὀνομάσθη· σύνηθες γὰρ τῇ γραφῇ τοὺς τῶν χειρόνων γνωρίζειν ἀπὸ τῆς ἁμαρτίας μᾶλλον ἤπερ τῶν πατέρων καὶ τοὺς
κρείττονας ἀπὸ τῆς ἀρετῆς· τὸν γοῦν διάβολον υἱὸν ἀπωλείας ὁ Παῦλος φησὶν — ἐὰν γὰρ μὴ ἀποκαλυφθῇ ὁ υἱὸς
τῆς ἀπωλείας· καὶ ἐν τοῖς εὐαγγελίοις τὸν Ἰούδαν υἱὸν ἀπωλείας ὁ κύριος εἴρηκεν· οὐδεὶς γάρ φησιν ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπω-
λείας· τοὺς μὲν δὲ σοφίας τοὺς ἐν τῇ θεογνωσίᾳ μεμορφωμένους ἔδει καὶ ἐδικαιώθη γὰρ ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς· καὶ
ἐὰν ᾖ, φησὶν, ἐκεῖ υἱὸς εἰρήνης:

Ἑβραιστὶ δέ φησιν υἱὸν Ἰεμενεὶ μὲν ἀπὸ τοῦ δήμου κεκλῆσθαι· ὁ ἐν ἡλικίᾳ ὁ Σαοὺλ καὶ ὅσα μετὰ καὶ ὁ τὴν ἀγγελίαν κατα[μη]νύσας
τοῦ Σαοὺλ· υἱὸς δὲ τοῦ Ἀραχὶ ἀπὸ τοῦ πρό: ΔΙΔΥΜΟΥ

Αἱ δεινὰ δὲ τὸν ψαλμὸν πρακτικὸς ἅμα καὶ θεωρητικός· ἐπειδὴ γὰρ ἐν τῇ θείᾳ γραφῇ τοῦτ' ἔστι πρᾶξιν μὲν τὸν ψαλμὸν
θεωρίαν δὲ δηλοῦσι τὴν ᾠδήν· καὶ ψαλμοὺς μὲν ᾠδὴ ἐστὶν ἡ περὶ παιδεύσεως ἠθικῆς θεωρίας· ψαλμὸς δὲ ᾠδῆς ἡ ἀνακαί-
ως τοῖς θεωρεῖν τὴν ἀλήθειαν παρασκευαζομένην πρᾶξις· αἱ δὲ δὲ πρακτικοὶ ὄντας καὶ τὸν προκείμενον ψαλμὸν δαδ
θεωρῶν περὶ δικαίου τῶν πραττομένων σοφὸς καὶ πάνυ θεοπρεπῶς γνῶναι θέλων τί δικαίου δηλοῦται διὰ τῶν οὕτως αἰ-
ἀπὸ διδρασκόντων μακάριος Δαβὶδ τὸν Ἀβεσσαλὼμ καὶ πατραλοίαν τὸν Χουσὶ ὑποκριθέντα ἐνδιδάσκαλον τὰς συμβουλὰς τοῦ ἐντ(ολέ)ως
Ἀχιτόφελ καὶ δὴ καὶ διδράσκοντα Χουσὶ καὶ ἐπεικῆ καὶ τὸν Ἀβεσσαλὼμ μὴ κατατείνειν εἰσηγῆσαι τῆς ἐκεῖνον παρ' ἡττικῶς δι-
δάξαι τὸν παρὰ τὸν λαὸν ἅπαντα συναθροισθῆναι καὶ τὴν καὶ ταύτην κατὰ τοῦ γένους εἰς τόπος ἐπαναστῆναι· ἀχθεσθεὶς τοίνυν καὶ
λίαν ἀδημονήσας ὁ Ἀχιτόφελ ὡς ἀργὰ τὸ πέρας ὁ φθείσιο τῆς ἀοιχούσης συμβουλῆς αὐτόχειρ αὐτὸς γενόμενος τὴν διαχὸν
ἐδέξατο τελευτὴν· ὁ δὲ θεῖος Δαβὶδ τῆς ἐφόδου τὴν ἀνάπαυλαν καιρὸν εἰς φυγὴν λαβὼν τῆς σωτηρίας ἔσχεν· τοῦτον τοιγαροῦν
τὸν ψαλμὸν οἷον τινὰ ὕμνον καὶ προσευχὴν τῷ σωτῆρι προσέφερε θεῷ·
προαιτήσας μὲν καὶ διδασκαλίαν τοὺς μὲν ὑπὸ τιμωρίᾳ δηλουμένους εἰς τὸ ἐν ἔχειν τὰς ἐλπίδας προτρέπων καὶ τὴν ἐκεῖ θεραπείαν
μένειν προσθήν· τοὺς δὲ ἀδικοῦντας δεδιττόμενος· τὴν τιμωρίαν τοῦ θ(εο)ῦ
δικαίας κρίσεως μνήμῃ:

Ψαλμὸς τῷ Δα(υὶ)δ, ὃ ᾖσεν τῷ κ(υρί)ῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεί.

Κ(ύρι)ε ὁ θ(εό)ς μου ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με:
Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου μὴ ὄντος λυτρουμένου μηδὲ σῴζοντος:

Οὐκ ἐπὶ τοῖς οἰκείοις μόνον λαοῖς ἀλλὰ καὶ κράτους πλήθει τὰς ἐμὰς ἐλ-
πίδας ἀποκεῖσθαι δίδωμι, ἐκ πολεμίων μοι τοσούτων ἐπικειμένων
διαπαντός· οὐ μόνον νῦν Ἀβεσσαλὼμ καὶ Ἀχιτόφελ· καὶ τῶν σὺν αὐ-
τοῖς· ἀλλὰ καὶ πάλαι γενομένων τις Σαοὺλ τε καὶ πλείστων τῶν τε διὰ τοῦ
ἀοράτους πολεμοῦντων δαιμόνων ὧν περὶ τοῦ ἄρχοντος εἴρηται
ὁ ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος περιέρχεται ζητῶν
τίνα καταπίῃ· ἐξ οὗ μάλιστα ῥυσθῆναι παρακαλῶ: ΒΑΣΙΛΕΙΟΥ

Ὁ ῥιασμένος οὖν κύριος διατιθέμενος λέοντα· ῥυσθῆναι δὲ οἱ ἐπὶ τῇ αἰ-
χμαλωσίᾳ κατεχόμενοι· ὁ μὲν οὖν ἀσθενὴς ἐν αὐτῇ δεδεμένων εἶπεν
ἔχων ὑπὸ ταύτης οἰκονομεῖται προσώπου θέλων· ἴνα ἑστῶσι γὰρ ἐ-
σωκεν ὁ πορευόμενος εἰς εἰρήνην· ὁ δὲ ὀφείλων ῥυσθῆναι, ἀναμένει
λύτρον ἔξωθεν ὑπὲρ αὐτοῦ διδόμενον· ὁ τοίνυν ὑπὸ τὸν θάνατον ὤν.
ἐπιδὼς ὅτι εἷς ὁ σώζων, εἷς ὁ λυτρούμενος ἐξ αὐτοῦ τυχεῖν ἀμφοτέρων
αἰτεῖ· εὔχεται δὲ περὶ τὸ τῆς ἐν ταύταις ζωῆς ὡς ἂν σωθῆναι καὶ τῆς
μεταθανάτου ὅτε διδρεύονται πᾶσα ψυχὴ ὑπὸ τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου καὶ μὴ ἁρπασθεῖς εὑρεθῆ καταπίεσθαι
τυχεῖν τῆς ἐκ τούτου λύτρωσεως ὡς ἂν καὶ τὸν σωτῆρα λέγειν· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἔρχεται καὶ ἐν ἐμοὶ οὐχ εὑρήσει οὐδέν:

ΑΣΤΕΡΙΟΥ

Αὐτοὶ δὲ ἤκαμεν ἐπιπεῖν καὶ ἐν ἐμοὶ ὀλίγα καὶ μικρά· τίς οὖν ὁ σώζων καὶ ὁ λυτρούμενος ἡ ἐπίπονος σωζόμενος ἐπι-
ρεξημένοις ἐλευθέρως ζητήσαι καὶ δώσει τὸ ἀπολλὸς καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ ἀντίλυτρον ἀντὶ πολλῶν· ἔσωζε δὲ
θεὸς ὢν ὁ πηγὴ ἦν θεοῦ λόγου ὄντος οὐ διαιρεῖ γνωσιν εὐδοξῆ ποιεῖ τὴν θεότητα: ΑΣΤΕΡΙΟΥ

Πολλοὺς δὲ ἐφηῦρας τοὺς ἐχθρούς· εἰς ἕνα τὸν λόγον κατέκλεισεν· ἔφη δὲ τοῦ κατὰ μὲν τὸ αἰσθητὸν Ἀβεσσαλὼμ τοῦ
πλήθους ἄρχων· κατὰ δὲ τὸ νοητὸν ὁ διάβολος τοὺς δαίμονας ἄγων τῷ νεύματι· καὶ λέοντα τοῦτον ὡς ἁρπακτικὸν
ὥσπερ πακτικὸν καὶ δυσωδίας ἔχοντα τόμα καὶ δυσφημίας ἐρευγόμενον ἡ γραφὴ δηλοῦσα τὴν ψυχὴν ἀλλ' οὐ
τὸ σῶμα φησὶν ἁρπάσει: ΘΕΟΔΩΡΟΥ

Οὐ δὲ μάτην φησὶ ταύτης πρὸ τῆς ἐνῴκησεν τεθαρρηκὼς τὴν σωτηρίαν δὲ ἐλπίδα μόνην ἐν ἐμαυτῷ περιφέρων ἱκετεύω τῆς σῆς
προμηθείας τυχεῖν· δέδια γὰρ μὴ δίκην ἀγρίου θηρὸς ἐπελθόντες οἱ πολέμιοι καὶ ἐρημόν με τῆς σῆς προνοίας
εὑρόντες παντελῶς διαφθείρωσιν: ΑΘΑΝΑΣΙΟΥ

Ἐπειδὴ ἀπὸ φησὶν περὶ τῆς σωτηρίας οὐ θαρρῶ εἰ καὶ τοῦ Χουσὶ οἱ λόγοι καλοί, σῶσόν με καὶ ἐκ τῶν παρόντων μὲν ἐχθρῶν
μάλιστα δὲ ἀπὸ τοῦ ἐνεδρεύοντος μου τοῦ λέοντος τὴν ἐμὲ βραχυτῆ: ΗΣΥΧΙΟΥ:

Ὁρᾷς λέοντα τὸν θυμικὸν καὶ θηριώδη καλούμενον; ὅταν γὰρ ἐν ἐλάχιστον φύσιν διακακίας ἐνδύσηται τότε λέων
καὶ λύκος καὶ πᾶν ὅπερ ἂν εἴπῃς θηρίον εἰκότως ὀνομάζεται· ἴσως δὲ λέοντα ἐνταῦθα ὀνομάζει τὸν διάβολον
ἁρπάζειν ταχὺ τῶν ἐπιλαμβανομένων εἰωθότα· τυχὼν ὁ τάχα ἀπογράφοντος αὐτὰς τοῦ θ(εο)ῦ μὴ ἰσχύσειν τὸν λυτρούμενον:

ΕΥ ΚΑΙΣΑΡ(ΕΙΑΣ)

Ὁ δίκαιος ἐν παρρησίᾳ ἐστὶ τοῖς μὴ μνήμης κακίας· ἐξαίρετον γὰρ τοῦτο κατόρθωμα τοῦ Δαυΐδ. ὥσπερ οὖν μὲν Μωϋσῆς πρᾶος· πρᾶος γὰρ ἦν παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας ἐπὶ τῆς γῆς. τὸν Ἀβραὰμ δὲ ἡ πίστις. ἐπίστευσε γὰρ τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. καὶ τοῦ Ἰὼβ ἡ καρτερία. καὶ Ἰωσὴφ ἡ σωφροσύνη. καὶ ἡ σοφία τοῦ Σολομῶντος. καὶ τὸ ἐρρωμένον τῶν Μακκαβαίων. οὐκ ἐπὶ τοῖς αὐτοῖς μεμαρτύρηνται. ἀλλ' ἐν ᾧ ἐκράτει παραδόξῳ παλαίσματι. Δαυΐδ τοίνυν ὡς διὰ πάντων ἀμνησίκακον ἦθος προτιμήσει τοῦ τὸ νικᾶν ἐξ αὐτοῦ τυχεῖν ἐξαιτούμενος· ᾔδει γὰρ ἐκ τοῦ θείου νόμου τὴν μέλλουσαν τοῦ σωτῆρος ἐπαγγελίαν τήν· ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ παραπτώματα ὑμῶν. διὸ μετὰ τὴν ἱκανὴν μετάνοιαν ἐπεύχεται τῆς ἀφέσεως. διατεινόμενος δέ φησιν εἰ μὴ κατόρθωσα τοῦτο μὴ ἐλευθερωθείην πρὸ τοῦ θανάτου τῆς ἁμαρτίας. μηδὲ τὴν ἐκεῖ ἀπολαύσαιμι δόξαν. ἐν αὐταῖς δέ μου καταληφθείην ταῖς ἁμαρτίαις ἵν' ὥσπερ ἥμαρτον οὕτω μέχρι παντὸς τὴν ἐκεῖ ὀδυνώμενος κατὰ τὴν ψυχήν. μέχρι τοῦ εἰς χοῦν ὑποστρέψαι θανάτου. εἰ δὲ κατόρθωσα τοῦ τύχοιμι τῶν ἴσων λυτρούμενος. καὶ μὴ εἰς ὅλον ἐξ ἁμαρτίας κατεπισχοίην ἐπὶ μέρους τῆς σαρκικῆς ἁμαρτίας :

ΒΑΣ Ἐν τῇ γραφῇ δὲ ἡ ἀνταπόδοσις οὐ πάντως δηλοῖ τοῦ ἴσου τὴν ἀντιμέτρησιν. ἀλλὰ καὶ τὸ κατάρχεσθαι δόσεως ὡς ἐπὶ τοῦ ἀνταπόδος τῷ δούλῳ σου. ἐπειδὴ ἄλλοι χρέος εἰσὶ θεοῦ ὀφειλόμενον. ὡς παρὰ τῶν προαποτιθεμένων. φυσικῶς ἐποφείλεται πρόνοιαν. καθ' ἣν ὀφείλουσιν οἱ γονεῖς φησὶ τοῖς τέκνοις θησαυρίζειν. νῦν δὲ παρρησιάζομαι τοὺς ἀνθρώπους ἐπὶ πονηρίᾳ καὶ κακίᾳ. κενὸς δὲ ἀποπίπτει ἀπὸ τῶν ἐχθρῶν ὁ τῆς χάριτος τῆς ἐκ τοῦ πληρώματος τοῦ θεοῦ ἐκπεσών. ἐναντία δὲ τῆς εἰς χοῦν πεσούσης ζωῆς ἡ ἐκ τῆς κεκρυμμένης σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ ἣν ὁ Παῦλος ζῆσαι ἔλεγε. ζῶ δὲ οὐκέτι ἐγώ. ζῇ δὲ ἐν ἐμοὶ Χριστός. καὶ ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ ἐν πίστει ζῶ. τῶν δὲ ἄνω τὸ πολίτευμα ἐχόντων ἐν τοῖς οὐρανοῖς καὶ θησαυριζόντων ἐν οὐρανοῖς τὰ ἀγαθά. ἡ δόξα ἐστὶν ἐν τοῖς οὐρανοῖς. τῶν δὲ χοϊκῶν καὶ κατὰ σάρκα ζώντων ἡ δόξα κατασκηνοῖ εἰς τὸν χοῦν λέγεται. καὶ ἐπὶ πλούτῳ καὶ ἐπὶ τιμῇ καὶ ἐπὶ σωματικοῖς φρονοῦσι πλεονεκτήμασι δόξαν ἔχουσιν οὐκ ἀναβαίνουσαν εἰς τὸν οὐρανόν, ἀλλ' εἰς τὸν χοῦν ἐκπιπτομένην οὖσαν : ΘΕΟΔΩΡΗ(ΤΟΥ)

Κ(ύρι)ε ὁ θ(εό)ς μου εἰ ἐποίησα τοῦτο εἰ ἔστιν ἀδικία ἐν χερσί μου εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά :

Ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι :

μοι τὸ δ' ἂν καὶ οὕτως ἀποπέσοιμι τῆς παρὰ θεοῦ κηδεμονίας γυμνὸς γένοιμι. μηδὲ τοῖς ἐχθροῖς ὑποχείριος. ὥστε μὴ μόνον τῆς παρούσης ἐκπεσεῖν βασιλείας. ἀλλὰ καὶ καταβλαβεὶς παραδοθῆναι θανάτῳ. ὁποῖον τὸ εἰς χοῦν κατασκηνώσαι τὴν δόξαν :

ΘΕ Ἐπὶ τὰς ἀνταποδόσεις ἐκφέρομεν λέγει :

ΘΕ Καὶ δεικνὺς ποῖον εἶδος ἀδικίας ἐν ταύτῃ φησὶν εἶναι ἐπάγει : ΘΕΟΔ(ΩΡΗΤΟΥ)

Τῆς ἀρετῆς πολλὰ μόρια. οὐ γὰρ μόνον σωφροσύνη καὶ φρόνησις ἀλλὰ καὶ ἀνδρεία καὶ δικαιοσύνη. ἐν ταύταις τοίνυν ὁ Δαυΐδ τὴν ἄκραν ἀρετὴν ἑαυτῷ μαρτυρεῖ ὅτι τούτους οὐκ ἠμύνατο τοὺς πολεμίους μὴ ἀδικήσας, τὴν ἄδικον δι' αὐτοὺς ὑπομένει φυγήν. οὐ μόνον γάρ φησιν ἀδικίας οὐκ ἦρξα ἀλλ' οὐδὲ τοὺς ἠδικηκότας ἠμυνάμην ἐσχόμην ἀμύνεσθαι ποτέ. πολλάκις γὰρ τὸν Σαοὺλ ὑποχείριον λαβὼν τῆς ἀδίκου δυσμενείας δίκας οὐκ εἰσεπραξάμην. οὐδὲ ἡ χάριν ἔχει· διὸ ταῦτα παρακαλῶ τὸν πάντων ἐφορῶντα ἐπιγράφομεν. δικάσαι μοι δικαίως καὶ εἴ τι τοιοῦτον δέδρακα ποτὲ τῆς μὲν ἐκείνου ἐκπεσεῖν κηδεμονίας γυμνωθῆναι. τοῦτο λέγει γάρ ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. ὑποχείριον δὲ τοῖς δυσμενέσιν ἐκδοθῆναι ὥστε μὴ μόνον τῆς παρούσης με δόξης καὶ βασιλείας γυμνωθῆναι ἀλλὰ καὶ καταβλαβέντα παραδοθῆναι θανάτῳ τοῦτο γὰρ ἐσήμανεν εἰρηκὼς τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι : ΗΣΥ(ΧΙΟΥ)

Πολλὴ τοῦ Δαυΐδ καὶ σφόδρα πρέπουσα τῷ προφήτῃ παρρησία. φησὶ γὰρ εἰ ἐποίησα τοῦτο ποῖον ὁποῖον νῦν αὐτὸς πάσχει. εἴ ποτέ φησι τὸν πλησίον ἐβουλευσάμην εἰ ἔστιν ἀδικία ἐν χερσί μου τουτέστιν εἴ τινος πλοῦτον καὶ κτῆσιν ἢ βασιλείαν ἥρπασα. χρῆν γὰρ τὴν ἀδικίαν ἐργαζόμενον παραπλήσια καὶ αὐτὸν τοῦ θεοῦ συγχωροῦντος προσδέχεσθαι : ΘΕΟ(ΔΩΡΟΥ) ΑΝΤΙ(ΟΧΕΙΑΣ)

εἰ ἐποίησα τοῦτο ὃ νῦν πάσχω. τουτέστιν εἰ ἠδίκησα. ὃ εὐφημότερον ἐπάγει λέγων εἰ ἔστιν ἀδικία ἐν χερσί μου ἀντὶ τοῦ εἰ εὕρημαί τι ἄδικον ἐργασάμενος εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά. ἀεὶ τὸ μεῖζον δεύτερον τάττει τοῦ ἐλάττονος· μεῖζον τοίνυν ὂν τοῦ ἀδικοῦντας ὑποφέρειν τὸ μὴ ἄρξαι ἀδικίας δεύτερον λέγει : ΗΣΥ(ΧΙΟΥ)

τουτέστιν μάταιος εἴ τί φησιν τῶν εἰρημένων ἐπραξάμην, ματαιωθεὶς ὑπὸ τῶν ἐχθρῶν καὶ γελασθεὶς ἐκπέσοιμι :

ΘΕΟ Ἀναχωρήσαιμι φησὶν ἀπὸ τῶν ἐχθρῶν μου ἄπρακτος μηδὲν ὠφεληθείς φησιν μηδὲ τὸ τυχὸν αὐτοὺς ἀντιδικῆσαι :

τοῦ μὲν δικαίου ἡ ψυχὴ χωριζομένη τῆς προαγούσης σαρκὸς τὴν ζωὴν ἔχει κεκρυμμένην σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ ὅθεν δύναται λέγειν κατὰ τὸν ἀπόστολον ὅτι ζῶ δὲ οὐκέτι ἐγὼ ζῇ δὲ ἐν ἐμοὶ Χριστός καὶ ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ ἐν πίστει ζῶ· τοῦ δὲ ἁμαρτωλοῦ καὶ κατὰ σάρκα ζῶντος καὶ συμπεφυρμένου ταῖς τοῦ σώματος ἡδοναῖς ἡ ψυχὴ οἷον ἐν βορβόρῳ τοῖς πάθεσι τῆς σαρκὸς ἐγκυλιομένη καταπατεῖται· ὁ ἐχθρὸς ἐπὶ πλεῖον ἐκμολύνειν καὶ οἷον εἰ καταχωννύειν φιλονεικεῖ ἐπεμβαίνων τῷ πεπτωκότι καὶ τοῖς ἑαυτοῦ ποσὶ καταπατεῖ εἰς γῆν. τουτέστιν εἰς τὸ σῶμα τὴν ζωὴν τοῦ ὀλισθήσαντος :

Ο Ὃ λέγει τοιοῦτόν ἐστιν εἴ τι τὸ καὶ τὸ ἐποίησα μὴ ἐλευθερωθείην τῆς ἁμαρτίας πρὸ τοῦ θανάτου :

ΘΕΟ αὐτοί φησιν μηδὲν παθόντες δεινὸν παρ' ἐμοῦ καὶ ἐμὲ διαφθείρειν ἀπόρως ἐθέλουσιν καὶ καίσαι :

ΚΥ τουτέστιν ἀποκλεισθήσομαι καὶ τιμῆς καὶ δόξης ἁπάσης καὶ γένοιμι ὥσπερ χοῦς ὑπὸ πόδας ἐχθρῶν : ΘΕΟΔΩΡΟΥ

τουτέστιν ἐξαλειφθείη μου φησὶν τὸ μνημόσυνον. τοῦτο γάρ ἐστιν τὸ καταπατῆσαι εἰς γῆν τὴν ζωήν μου. τουτέστιν τοιοῦτος μοι περιγένοιτο ὥστε ἐναλειφθῆναι καὶ κατασχεθῆναι καὶ μὴ ὑπολειφθῆναί μου τῆς ζωῆς μνημόσυνον· διὰ τοῦτο ἐπειδὴ δόξα τοῖς Ἰσραηλίταις ἦν τὸ μνημόσυνον τελευτῶντας καταλιπεῖν ἀδοξία δὲ τὸ ἐναντίον· τούτου γὰρ ἕνεκεν καὶ ὁ νόμος προστάττει τοῦ τελευτῶντος ἄπαιδος τὸν ἀδελφὸν λαμβάνοντα τὴν γυναῖκα ἀνιστᾶν σπέρμα τῷ ἀδελφῷ ὅπως μὴ τὸ μνημόσυνον τοῦ τελευτῶντος ἀφανίζοιτο : ΒΑΣΙΛΕΙΟΥ

τῶν μὲν ἄνω τὸ πολίτευμα ἐχόντων ἐν τοῖς οὐρανοῖς ἡ δόξα ἐστὶν ἐν οὐρανοῖς. τῶν δὲ χοϊκῶν καὶ κατὰ σάρκα ζώντων ἡ δόξα κατασκηνοῖ εἰς τὸν χοῦν λέγεται. ὁ γὰρ ἐπὶ τῷ χοϊκῷ πλούτῳ δοξαζόμενος καὶ ἐπὶ τοῖς σωματικοῖς πλεονεκτήμασι ὡς ἐπὶ θείοις δόξαν ἐν ἑαυτῷ ἔχει οὐκ ἀνιοῦσαν εἰς τὸν οὐρανὸν ἀλλ' εἰς γῆν ἐκπιπτομένην οὖσαν :

Οἱ ἀλλ᾽ ἢ στρατηγὸν ἀναστῆναι συναγαγόντα στρατιὰς κατὰ τοῦ ἀοράτου πολεμίου ἄρχοντος στρατοπέδου. λέγων· ὁ τοῖς ἀγγέλοις ἡμῖν προστάξας ἀφορίζεσθαι κατὰ τῶν ἀοράτων δυνάμεων τοῦτο δρᾶσον αὐτός. τούτων γὰρ ἡττωμένων καθ᾽ ἣν ἡμέραν οὐκέτι ἐπελεύσομαι μόνος. ἀλλὰ καὶ ἡ τῶν ἐθνῶν ἐκκλησία κυκλώσει σε. πάσης δαιμόνων πλάνης ἀποβληθείσης. ταύτης δὲ καθάπερ χοροῦ μέσος γενόμενος ὕμνον ἀναπέμψεις περιεστώτων σοι καθάπερ ἐπὶ τῆς ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε: θεοδωρήτου

τὸ ὡς ἀνάστηθι τὸ μὴ μακροθυμῆσαι δηλοῖ. ὁμοίως καὶ τὸ ἐξεγέρθητι ἵνα τί ὑπνοῖς κε. ὕπνον τὴν μακροθυμίαν ὀνομάζων. καὶ ἀνάστα καὶ μὴ ἀπώσῃ ἡμᾶς. οὐ καιρὸς γὰρ φιλανθρωπίας. ἀλλὰ δικαίας ὀργῆς. ἐπεὶ τοίνυν τοῖς ἐχθροῖς μου τὸ πέρας τὴν ἄδικον αὐτῶν ἔφοδον καταπαύσας ἐστὶ καὶ συνήθως θέλεις τοῖς ἀδικουμένοις ἀμύνειν. τοῦτο δέ σοι ποιήσαντι πάντες ὕμνους προσοίσουσι τῷ ὕψει ἐφορῶντα πάντα καλοῦντες. καὶ δίκην ἀξίαν τοῖς ἀδίκοις ἐπιτιθέντα. τὸ γὰρ εἰς ὕψος ἐπίστρεψον ἀντὶ τοῦ ὑψηλὸς ὢν φύσει. παρὰ δὲ τοῖς πολλοῖς ἀγνοούμενος δείχθητι ὅπερ ὑπάρχεις διὰ τῆς περὶ τῶν ἀδικουμένων κηδεμονίας: βασι ἢ καὶ οὕτως ἐξεγείρεσθαι τὸν κύριον ἤδη τῆς ἀναστάσεως εὔχεται εἰς ἀθέτησιν τῆς ἁμαρτίας αὐτῶν τὴν ἐπὶ τοῦ σταυροῦ ὕψωσιν ἥτις ἡμῖν γενήσεσθαι μετὰ τὸ εἰς ἔσχατον ὅρον τὴν κακίαν τῶν ἐχθρῶν ὑψωθῆναι ἢ καὶ τὸ ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σημαίνει ὅτι ὅσον ἂν κορυφωθῇ ἡ κακία πρὸς ἀμετρον χεομένη καθάπερ ἰατρὸς δύνασαι τῆς νομῆς στῆσαι τὰ πέρατα. παιδεύῃ καὶ ἐπαγωγὴν πληγαῖς. ἐπὶ λοιπὸν ἐξεγερθῆναι παρακαλεῖ τὸν κριτὴν εἰς τὴν ἐκδίκησιν παντὸς ἁμαρτήματος. καὶ τὰς προδιατεταγμένας ἡμῖν ἐντολὰς τελεσθῆναι ἐπὶ τὸ μυστήριον τῆς ἀναστάσεως ἀναγομένου τοῦ λόγου. ἢ καὶ διὰ τὸν αἰῶνα ἄλλον ὁ προφήτης παρακαλεῖ δικαίως τῷ προστάγματι μαθόντα παρ᾽ αὐτοῦ καὶ τὴν μίαν παραπεμπόμενον. ὅσα ἂν αὐτὸ ἐξ καὶ οἱ λοιποὶ ποιμάνουσι σωφρονήσωσιν. ἀλλὰ καὶ ὑπὲρ τῆς κυκλούσης σε συναγωγῆς ἣν ἐκ τῆς διαθήκης κατασκευάσας εἰς ὕψος τῆς δόξης ἧς εἶχες πρὸ τοῦ τὸν κόσμον γενέσθαι: διδύμου λέγεσθαι καὶ οὕτως ὑψωθῆναι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν ὑψωθῆναι παρακαλεῖ τὸν θν. οὕτω γάρ φησιν τέλος ἕξει τὰ τῆς ἀδικίας δι᾽ ἣν ἐχθροί μου τυγχάνουσιν. λέγει δ᾽ ἂν καὶ πέρατα ἐχθρῶν τὰς ἀλαζονείας. ἐπαρθῆναι φαίνεται τὸ ὑψηλὸν δοκεῖν ἐν τέλει εὐμαρίᾳ νομίζουσιν. οὐκ ἀμυντικοῦ δὲ ἡ εὐχή. μὴ ἀποδιδοὺς γὰρ κακὰ ἀντὶ κακῶν. ἀλλ᾽ ἀφελόμενος εὔχεται γνῶναι τοὺς ἐχθροὺς ὡς ὁ θεὸς ὑψοῦται ἐν τοῖς πέρασιν αὐτῶν.

Ἀνάστηθι κε ἐν ὀργῇ σου ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου:

Καὶ ἐξεγέρθητι κε ὁ θεός μου ἐν προστάγματι ᾧ ἐνετείλω καὶ συναγωγὴ λαῶν κυκλώσει σε καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον κς κρινεῖ λαούς: διάψαλμα

ὀργῇ χρησάμενος οὐ κατὰ τῆς οὐσίας ἀλλὰ τῆς ἐχούσης χειρίας τῆς προθέσεως φερομένης διαφορᾶς ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου φανερὸν ὡς οἱ τοῦ λαοῦ καὶ θῦ τυγχάνουσιν ἐχθροί: θεοδώρου ὁ μὲν ὡς σύμμαχος ἐν χόλῳ ὁ θεοδοτίων δὲ ἐν θυμῷ ὁ δὲ ἀκύλας ἐν ἀμύνῃ περὶ θεοῦ ἡρμήνευσεν. παρακαλεῖ τοίνυν τὸν δίκαιον κριτὴν ἐπὶ μακροθυμίᾳ ἀλλὰ δικαίᾳ χρησάμενον ψήφῳ τὴν τιμωρίαν ἐπιθεῖναι τοῖς ἀδικοῦσι. τὸ γὰρ ἀνάστηθι ἀντὶ τοῦ μηκέτι μακροθυμεῖ τέθεικεν. τοιοῦτον ἐστι τὸ ἐξεγέρθητι ἵνα τί ὑπνοῖς κε. καὶ γὰρ ἐκεῖ ὕπνον τὴν μακροθυμίαν ἐκάλεσεν καὶ ἀνάστα κε μὴ ἀπώσῃ ἡμᾶς. οὐ καιρὸς γὰρ φιλανθρωπίας ἀλλὰ δικαίας ὀργῆς ἐπειδὴ τοίνυν τοῖς ἐχθροῖς μου τὸ πέρας τὴν ἄδικον αὐτῶν ἔφοδον καταπαύσασθαι:

βα τὸ μυστήριον τῆς ἀναστάσεως ἢ δὲ ἐγείρεσθαι εὔχεται ὁ προφήτης εἰς ἀθέτησιν τῆς ἁμαρτίας αὐτῶν τὴν ἐπὶ τοῦ σταυροῦ ὕψωσιν ἥτις γενέσθαι μετὰ τὸ εἰς ἔσχατον ὅρον τὴν κακίαν τῶν ἐχθρῶν ὑψωθῆναι ἢ καὶ τὸ ὑψωθῆναι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν τοιοῦτόν τι ἂν αἰνίσσοιτο ὅτι ὅσον ἂν κορυφωθῇ ἡ κακία καὶ προβληθῇ ἐπὶ τὸ ἄμετρον καὶ ὑπερόριον χυθεῖσα τῇ περιουσίᾳ τῆς δυνάμεως δύναται ὡς ἀγαθὸς ἰατρὸς προκαταλαμβάνειν τῆς νομῆς τὰ πέρατα στῆσαι τὴν νόσον νεμομένην καὶ ἐπιοῦσαν καὶ διακόψαι αὐτοὺς τὴν συνέχειαν ταῖς παιδευτικαῖς σου πληγαῖς:

ἀθανασίου τουτέστιν ἐν τοῖς κραταιοῖς τῶν ἐχθρῶν σου πέρατα ἀρ ταῖς ἀκραι δηλοῖ: ἡσυχ ὑψωθῆναι τὸν χν ἐπὶ τοῦ σταυροῦ παρακαλεῖ ἐπὶ συντελείας καὶ ἀφανισμοῦ τῶν δαιμόνων ἐν ἐκείνῳ ὅταν γὰρ ὑψωθῶ πάντας ἑλκύσω πρὸς ἐμαυτόν. πέρας δὲ αὐτῶν καὶ κατάλυσις τῆς τῶν πονηρῶν ἐχθρῶν δυναστείας ἐγένετο: θεο ἀντι οὐχ ὅτι αὐτὸς ὑψοῦται οὐ γὰρ προσθήκη τις ὑψώσεως ἀλλ᾽ ὅτι ἐν ταῖς διανοίαις ἡμῶν τοιαύτη ἐγγίνεται ἔννοια περὶ αὐτοῦ ἐπιλαμπτιπ... φοῦ ἐνόμισεν ἡμέραν τοῦτο λέγει ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου τουτέστι πάντας περιλαμβάνειν τιμωρίαν τοὺς ἐχθροὺς γνώρισον ἅπασι τὸ ὕψος σου καὶ τὸ ἰσχυρὸν τοῦτο γὰρ μάλιστα ἀφορίζεσθαι τοῦ πάντας τιμωρηθῆναι: θεοδω οὐ γὰρ ἐνομοθέτησας τοῖς ἀδικουμένοις ἀμύνειν ὅ τοίνυν τοῖς ἄλλοις ἐνετείλω ποιεῖν δρᾶσον οὐδὲ ἔσται καὶ τῆς ὁμοίας μετ᾽ ἄλλος ὑπὸ τῆς: βασι δυνατὸν μὲν καὶ περὶ τὸ μυστήριον τῆς ἀναστάσεως ὁ λόγος ἀναφέρεσθαι παρακαλοῦντος τοῦ προφήτου ἐξεγερθῆναι τὸν κύριον. καὶ τὰς προδιατεταγμένας ἡμῖν ἐντολὰς τελεσθῆναι. δύναται δὲ καὶ ἐπὶ τὴν τοῦ κατάστασιν τῶν πραγμάτων τοῦ προφήτου λαμβάνεσθαι παρακαλοῦντος ἐξεγερθῆναι τὸν θν εἰς ἐκδίκησιν τοῦ προστάγματος ᾧ ἐνετείλατο πρόσταγμα δὲ τὴν τιμὴν τοῦ πατρὸς καὶ τὴν μητρὸς ὅπερ παραβαίνει ὁ υἱὸς αὐτοῦ διὸ παρακαλεῖ εἰς ἐκείνου αὐτοῦ ἐπανορθώσειν καὶ σωφρονισμὸν τὸν πολλὴν μὴ μακροθυμεῖν τὸν θν ἀλλ᾽ ἐξεγερθῆναι ἐν ὀργῇ καὶ διαρπάσαι ἐκδικῆσαι τὴν ἰδίαν ἐντολήν οὐ γὰρ ἐνεργήσειν ἐκδικῆσαι ἀλλὰ τὸ πρόσταγμα τοσοῦτον καταφρονηθέν: θεο ταύτης γὰρ σου τῆς προνοίας δειχθείσης ἅπαντες ὅσοι τοὺς ὕμνους προσοίσουσι καὶ θῦ ὕψιστον ἀποκαλέσουσι ἀποδείκνυντες τὸ γὰρ εἰς ὕψος ἐπίστρεψον ἀντὶ τοῦ ὑψηλὸς ὢν φύσει παρὰ δὲ τοῖς πολλοῖς ἀγνοούμενος δείχθητι ὅπερ ὑπάρχεις διὰ τῆς περὶ τοὺς ἀδικουμένους κηδεμονίας ἐν τῷ προφητικῷ: ἀπολιν πάντας ἐφορῶντας ἐξ τὴν ἀξίαν δίκην τοῖς ἀδικοῦσιν ἐπιτιθέντα. αὐτὸν ἔθνη πολλὰ συγκροτοῦμεν ἀντὶ τὴν ἐκκλησίαν δηλοῖ καὶ διαγγελλόμενον φησὶ ὁ κς συναχθήσεσθαι πρὸς αὐτόν. τούτου δὲ γενομένου ἄνω καὶ πρὸ τοῦ ὕψος ἐπιστρέψειν τὸν κριτὴν παραδόντα τὴν βασιλείαν: θεο ἀντι ἐπειδὴ δὲ ἠρέθη πρὸς ἑαυτὴν ἐπὶ τοῦ ἀπὸ βασιλείας τῶν μὲν τῷ ἀβδ τῶν δὲ τῷ αἰεσσαλωμ προσκειμένων ἀκολούθως εἶπεν ὅτι τῶν ἐπαναστάντων μοι δικαίως ἐδεδοικότων κατὰ τὸ πρόσταγμα τὸ συναχθὲν ἀπελαυνόμενον τοῖς λαοῖς ἐν οὕσαις παρθῆς αἰ συναχθήσονται διεγείρεσθαι τὰς καθολικοὺς ἐσοι εὐχαριστίας ἀποδιδόντες. ὑπὲρ τῆς κυκλούσης σε συναγωγῆς ἣν ἐκ τῆς διαθήκης κατασκευάσας. διὰ γὰρ τοῦτο ὕψος δειχθήσῃ: βασιλείου πρὸ τοῦ τὸν κόσμον γενέσθαι: εὐσεβ ὁ σωτὴρ καὶ τῶν ἐχθρῶν ἐκ πολλῶν ἀρθέντων καὶ τῆς δαιμονικῆς πλάνης ἀπελαθείσης τῶν ἐθνῶν γένοιτο κλῆσις. καὶ τῶν ἐκλεκτῶν συναγωγὴ κατασκευάσοιτο. καὶ αὐτὸς ὥσπερ ἐν χορῷ μέσος γενόμενος τῆς ἑαυτοῦ ἐκκλησίας ἀναπέμψεις τὸν αὐτοῦ περὶ τὸν περιεστώτων ὕμνον: ἀθανασίου τῆς συναγωγῆς δῆλον ὅτι τὸ δὲ εἰς ὕψος ἢ τὸ μὴ τιμωρεῖν ἀνίεται πρὶν εἰς ὁ μὲν ἠλέγχεν ἡμῶν τὰς ἁμαρτίας. ἢ τὴν εἰς οὐρανοὺς ἀναφοίτησιν. ἐπορεύθη γὰρ ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ πρὸ ὑπὲρ ἡμῶν: ζη ἐν

Κρίνομεν δὲ κατὰ τὴν δικαιοσύνην καὶ κατὰ τὸν δικαίαν μου ὠδήν:

ἑξῆς   καισαρ(είας)

ἐπιστημονικὸν καὶ μάλα τὸ πέρας ἀπιέσθαι γενέσθαι κακίας· κυνέρρησιν δὲ τοῖς δικαίοις πρὸς τὸ μὴ καὶ χειμάζε-
σθαι· περὶ δικαιοκρισίας ἐπὶ τὸν τοῦ θεοῦ μόνον δίκαιον ἀποφαίνει κριτήν· ὡς καὶ μόνον ὁρῶντα καρδίας· αὐτὸς γὰρ
ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ἄλλος μὲν γάρ ἐστιν ὁ τιμωρῶν· αὐτὸς δὲ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν
καρδίας· οὐκ εἰ ἡ κρίσις ἀφανὴς ἐγὼ τὸ ἴσον αὐτοῦ· τοιοῦτον δὲ ἐτάζας τὸν θεὸν πεπαρρησιασμένως συνειδότι φησίν:
χρὴ ἀγαθὴν ἐλπίζειν· διὰ τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς· ὡς δηλονότι λοιπὸν ἔχων οὐδὲν ἐν καρδίᾳ: θεοδωρή(του)
νεφροὺς δὲ λέγει τοὺς λογισμούς· ἐπειδὴ τὰς ὑπογαστρίους ὀρέξεις οἱ νεφροὶ διεγείρουσιν: βασιλείου
καρδίαν γὰρ τὸ ἡγεμονικὸν καλεῖ· νεφροὺς δὲ τὸ ἐπιθυμητικὸν ἡ γραφή· κριτὴς οὖν ὁ θεὸς καὶ δογμάτων εὐσεβείας ἢ μὴ
καὶ κινημάτων παθητικῶν· ἐτάζει δὲ τὸ μὲν πάντα ποίαν ἐρευνήσας πᾶσαν τῶν δικαίων· ἐτάζει δὲ πράξεις καὶ λογισμοὺς
ὁ θεός· διὸ μὴ πρὸ καιροῦ τις κρινέτω· ἕως ἂν ἔλθῃ ὁ κύριος· ὡς δὲ πολεμίου μέρος βοήθειαν ζητεῖ ὡς οὐκ ἔστι πολλοῦ τούτου
τὴν ἐλπίζων ὡς ὅπλα τι καὶ ἀφορμήν· εὐθὴς δὲ τὴν καρδίαν ὁ μὴ
λείπων ἢ ὑπερβαίνων· ἀλλὰ τὸ μέσον ἔχων τῆς ἀρετῆς· οἷον περὶ ἀν-
δρείαν ἁμαρτῶν σκολιὸς οἷον ὁ μὴ ἔχων τὴν ἀνδρείαν ἢ θρασὺς ἢ δειλός:
ἀλ(λως) ἐτάζει δὲ ὁ θεὸς οὐχ ὡς ζητῶν ἀλλ' ὡς ἔχων τὴν γνῶσιν· νεφροὺς δὲ ψυ-
χῆς ὀνομαστικὰς ἀκουστέον δυνάμεις· ἀμέλει περὶ φαύλων εἴρηται
ἐγγὺς ἢ τοῦ στόματος αὐτῶν· πόρρω δὲ ἀπὸ τῶν νεφρῶν· δυνάμει
δὲ τοῦτό φησιν· ἐπιζητεῖ τοὺς εὐθεῖς τῇ καρδίᾳ· ἀπὸ τῶν δὲ δικαίαν
βοήθειαν εὐθεῖαν ἔχω καὶ ἁπλοῦν τὴν καρδίαν: θεοδώρου
ἀντὶ τοῦ συντελεσθήτω ἀπαρτισθήτω ὁ σύμμαχος τέθεικεν ἢ μάταια ἐδηλοῖ
διχθείη τῶν κακίᾳ συζώντων ἡ πονηρία· ὥσπερ οὖν ὁ τρόπος τῆς ἀρετῆς
προφῆναι τὴν προκειμένην αὐτοῖς πορείαν ποιήσονται: ἡσυχ(ίου)
προσκόμμα ἄρα τοῖς δικαίοις ἡ τῶν ἁμαρτωλῶν πονηρία· προσκόπτουσιν ἐκ-
κόπτεσθαι καὶ συντελεσθῆναι· τουτέστι παύσασθαι· ὁ προφήτης προσηύξατο
ὡς ὑπὸ τὸν δίκαιον εὐθεῖαν ὁδὸν οὐδενὸς αὐτὸν περισπῶντος πορεύεσθαι:
ἀλ(λως) θε(ο) νεφροὺς ἐνταῦθα τοὺς λογισμοὺς ὀνομάζει· ἐπειδὴ γὰρ τὰς ὑπογασ-
τρίους ὀρέξεις οἱ νεφροὶ διεγείρουσιν· ἐντεῦθεν δὲ λοιπὸν κινοῦν-
ται τῆς ἐπιθυμίας οἱ λογισμοί· νεφροὺς τροπικῶς τοὺς λογισμοὺς
προσηγόρευσεν· ὁ τοίνυν φησὶν τοὺς κεκρυμμένους τῆς διανοίας
λογισμοὺς ἐπιστάμενος δικαίαν μοι παρέξει βοήθειαν· ἀεὶ δὲ τοῦτο
ποιεῖν εἴωθεν· τοῖς γὰρ ἀδικουμένοις ἐπαμύνων διατελεῖ ἐν τοῖς ἑ-
ξῆς λοιπὸν καὶ δέδεικται τοὺς πονηρίαν ζῶντας τὰς δικαίας τι-
μωρίας ὑποδεχομένους καὶ προσαγορεύει τοῦ ἀχιτόφελ τὸν ὄλεθρον:
ἀλ(λως) β ἐπειδὴ καρδίαν πολλαχοῦ ἡ γραφὴ ἐπὶ τοῦ ἡγεμονικοῦ παραλαμβάνει
νεφροὺς δὲ ἐπὶ τοῦ ἐπιθυμητικοῦ τῆς ψυχῆς καὶ ἐνταῦθα τὸ αὐτὸ
σημαίνει ὅτι ὁ θεὸς κρινόμενος ἐπὶ τοῖς δόγμασι μου οἷς ἔχω περὶ τῆς
εὐσεβείας καὶ ἐπὶ τοῖς κινήμασι τοῖς παθητικοῖς· ἐτασμὸς δὲ κυ-
ρίως ἐστὶν ἡ μετὰ βασάνων ἐξετασμὸν προαγομένη ἔρευνα· παρὰ τῶν κριτῶν τοῖς ἐξεταζομένοις ἢ κρυπτομένοις παρ' αὐτῶν
τοῖς τὰς ἀληθείας ἀνάγκῃ τῶν πόνων εἰς τὸ ἐμφανὲς καταστήσωσι τὸ λανθάνον: διδύμου
ἐπὶ θεοῦ τὸ ἐξετάζειν καὶ ἐρευνᾶν καρδίας· οὕτω ζητεῖν καὶ ἀνιχνεύειν δηλοῖ ἅμα πάντα τελείως κατὰ ἀλήθειαν ἔχει: ἀλ(λως)
δυνάμει τοῦτο διδάσκει ἔτι γοῦν εὐθεῖς τὴν καρδίαν σώζεται πᾶσι· τῶν δὲ δικαίαν βοήθειαν παρ' αὐτοῦ εὑρήσομαι εὐθεῖαν
καρδίαν ἔχων ἐκ τοσούτων
πάντως δόλου· διὸ καὶ
ἐπὶ τὴν κακίαν μὲν
κριθῆναι δὲ
ομαι:

Συντελεσθήτω δὴ πονη-
ρία ἁμαρτωλῶν καὶ
κατευθυνεῖς δίκαιον
ἐτάζων καρδίας καὶ νε-
φροὺς ὁ θεὸς δίκαιος:
Ἡ βοήθειά μου παρὰ τοῦ
θεοῦ τοῦ σώζοντος τοὺς
εὐθεῖς τῇ καρδίᾳ:

Συντελεσθῆναι τὴν πονηρίαν αἰτήσας, οὐ δεινοῦ λέγει διὰ [illegible] ἀκουσίως παθεῖν τοὺς ἐχθροὺς τὴν συντέλειαν ἀλλὰ
γνώσει προαιρέσει κριτὴν γινώσκοντας δίκαιον τὸν θεόν· διὸ φοβεῖσθαι ἐπιβουλεύειν τὸ πλημμελεῖν. δίκαιος γὰρ ὢν διὰ τὴν ἰσχὺν
ἀμέλει δύναται κολάζειν τοὺς ἁμαρτάνοντας καὶ διὰ [illegible] πολλάκις μακροθυμεῖ. τοῦτο γὰρ μὴ ἔχων ἄρ' ἂν
ἀπώλλυεν ἅπαντας τῆς διανοίας τῶν ἀνθρώπων ἐπιρρεπῶς ἐχούσης πρὸς τὸ ἁμαρτάνειν. μακροθυμεῖ δὲ καιρὸν μετανοίας
διδούς. οὐ βούλεται γὰρ τὸν ἁμαρτωλὸν οὐκ ἀποθανεῖν μᾶλλον ἢ ζῆν. τὸ γὰρ χρηστὸν τοῦ θεοῦ φησιν εἰς μετάνοιάν σε ἄγει.
μὴ δεῖσθαι οὖν διὰ μακροθυμίαν τὴν κακίαν ἐλέγχων ἐπάγων ἐν ἡμέρᾳ ὀργῆς· τουτέστι τῆς κρίσεως ὅτε καὶ ῥομφαία
ἥκον ἡμέν ἡ καὶ βέλη κολάσεως κατὰ τῶν πυρουμένων ἐκ τῆς πυρώσεως τῶν παθῶν. ἄλλοι δὲ πολλάκις τὴν
κόλασιν ῥομφαίαν ὥσπερ ἀμέλει ἐν ῥομφαίᾳ τελευτήσουσι πάντες
ἁμαρτωλοὶ λαοῦ· ὁ γὰρ πᾶς ἁμαρτωλὸς σφαγῇ παραδίδοται. καὶ
ἐν σοφονίᾳ δέ φησιν ὁ θεός· καὶ ὑμεῖς αἰθίοπες τραυματίαι ῥομφαί-
ας μού ἐστε. αἰθίοπας δὲ λέγει τὸν σκοτασμὸν καὶ τὴν ἄγνοιαν.
καὶ ἐν ἐξόδῳ δὲ πρὸς τοὺς ἀμφὶ τὸν μωϋσέα φασὶν οἱ γραμματεῖς
τῶν υἱῶν ἰσραήλ· ἴδοι ὁ θεὸς ὑμᾶς καὶ κρίναι· ἐβδελύξατε γὰρ τὴν ὀσμὴν
ἡμῶν ἐναντίον φαραὼ δοῦναι ῥομφαίαν εἰς τὰς χεῖρας αὐτοῦ ἀπο-
κτεῖναι ἡμᾶς. τὴν θανατηφόρον ὀργὴν ῥομφαίαν εἰρήκασιν. μακροθυμεῖ
δὲ τὸ μὴ χρήσασθαι ἅμα τῇ λύπῃ καὶ τὸ ἐντεῖναι καὶ ἑτοιμάσαι μὴν ἐμφαί-
νει [illegible] καὶ σκεύη θανάτου τοὺς ὑπερβάλλοντας ταῖς κολά-
σεσι· τοὺς καὶ σκεύη λεγομένους ὀργῆς: ΘΕΟΔΩΡΟΥ
Ἔχει δὲ καὶ φιλανθρωπίαν δι' ἣν ἐπὶ πλεῖστον ἐκφέρει τῶν ἀνθρώπων τὰ
πλημμελήματα· ἔπειτα εἰ ποτὲ ἴδοι τοὺς ἀνθρώπους ὄνησιν δι' αὐτῆς
οὐ καρπουμένους ἐκ τῆς ταῖς ἀπειλαῖς ἐκφοβεῖ τὴν τιμωρίαν
ἀναμαλλόμενος· εἰ δὲ καὶ ταύτης καταφρονήσαντες ἐπιμένοιεν
ἁμαρτάνοντες αὐτίκα τὴν παντελῆ ἐρίαν ἐπάγει τὸ δίκαιον ἔχου-
σαν. ταῦτα διὰ τῶν ἐπαγομένων ἐδήλωσεν: ἩΣΥΧΊΟΥ
Ἀγαθὸς ὁ μοῦ καὶ φοβερὸς ὁ κριτὴς ὁ ἡμέτερος· ὡς μὲν γὰρ ἀγαθὸς
μακροθυμεῖ, φοβερὸς δὲ ὡς ἰσχυρὸς καθέστηκεν· οὐ μὴν τοῖς
ἁμαρτωλοῖς ὡς ἰσχυρὸς μόνον ὑπάρχει φοβερὸς ἀλλὰ γὰρ καὶ ὡς
δίκαιος. δικαίου γάρ ἐστι φέρειν ἑκάστῳ τὴν ἀμοιβὴν ὧν ἔπραξε:
Χ ΗΣ Ἐὰν γὰρ ἐπαγγελοῦν δεῖσθαι ἐπιθυμῶν δύναται, ματαιοῖ δὲ καὶ τὴν κρίσιν
τὴν μέλλουσαν πρὶν αὐτὴν ἐλθεῖν τιμωρούμενος ἅπαντας:
ΘΕΟ ταύτας ἀρ' οὐ τιμωρίας ἀπειλῆς· στιλβώσει γὰρ εἰ ὡς ἐν [illegible]
καὶ ἐνέτεινεν τὸ τόξον ὃν τοῦ βέλους ἀφῆκεν καὶ διδασκαλίαν κατὰ τῶν
ἀφήσει τὰ βέλη εὐθὺς ἐπιστώθησεν: ἩΣΥΧΊΟΥ

Ὁ θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν:

Ἐὰν μὴ ἐπιστραφῆτε τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό. καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου:

Τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο:

Ὁ τὴν ῥομφαίαν κατὰ τῶν ἁμαρτανόντων κέχρηται, στιλβοῖ δὲ
αὐτὴν καὶ ἵνα τῆς ἀπειλῆς ὁ φόβος πρὸς ἐπιστροφὴν τοῖς ἁμαρ-
τάνουσι γένηται: ΚΥΡΙΛΛΟΥ
Στιλβώσει ἀντὶ τοῦ γυμνώσει καθ' ὑμῶν τὴν μάχαιραν φιλανθρωπον δὲ τὸ κήρυγμα καὶ ἐξ ἡμέρου τινος θεοῦ προτιθέ-
μενον τοῖς οὖσιν ἐν ἀσθενείαις. οὐ γὰρ ἀπειλῶν ὅτι γνόρασιν ἐργάζεται τῶν πονηρῶν ἡ ἀπειλὴ ἐν τὴν ῥομφαίαν αὐ-
τοῖς ἀμελ[illegible] λοιπὸν τὸ θάνατον ἐπιφέρειν ὅτι παντὶ καὶ παντὸς [illegible]
τεινε δὲ καὶ τὸ τόξον ἕτοιμον ἔχων αὐτὸ τῶν τοῦ θανάτου σκευῶν ἤτοι τῶν βελῶν ἐστι μετὰ [illegible] καὶ ἐξειργάσθαι φησὶν
τοῖς καιομένοις τοῖς τῆς γεέννης υἱοῖς οἱ καταικαίρους ἀκούσονται τοῦ κριτοῦ λέγοντος· πορεύεσθε ἀπ' ἐμοῦ οἱ
κατηραμένοι· καὶ τὴν ὀξεῖαν ῥομφαίαν γενέσθαι καὶ τὸ τόξον καὶ βέλη καὶ σκεύη θανάτου· τὰς διαφορὰς τῶν κολάσεων
φαμὲν ὑποδηλοῦν ἤγουν δυνάμεις τινὰς τὰς ἐπὶ φθορᾶς ἀναλόγως τοῖς ἑκάστου πλημμελήμασι τὰς δίκας:
ΘΕΟ Οἱ γὰρ τὴν ἐμπρησμὸν τῆς ἁμαρτίας ὕλην δεξάμενοι καὶ ξύλα καὶ χόρτον καὶ καλάμην οἰκοδομήσαντες ἥ φησιν
ὁ θεῖος ἀπόστολος τοῖς πυρφόροις τούτοις καταληφθήσονται βέλεσιν:
Θ Δ Καὶ βέλη μὲν τὴν τιμωρίαν φησὶν καιομένοις δὲ τοῖς ἀξίοις πυρός: ἩΣΥΧΊΟΥ
Καιομένους καλεῖ τοὺς τῷ πυρὶ τῆς ἡδονῆς φλεγομένους καὶ κατὰ τούτων τὰ βέλη παρασκευάζειν λέγει:

ταύτας ὠδῖνας ἐπ' ἀχιτόφελ ἐπληρώθη [illegible] παρευδοκιμηθεὶς γὰρ ὑπὸ τοῦ χουσὶ καὶ τὰ πράγματα τοῦ ἀβεσσαλὼμ [illegible] ἀπογνοὺς καὶ τὴν μέλλουσαν ἐκ τοῦ δαδ [illegible] δίκην οἴκαδε ἀναχωρήσας ἀπήγξατο [illegible] παθεῖν τὸν δαδ· καὶ τὴν κατ' αὐτοῦ κακίαν ἐπὶ τὴν αὐτοῦ κεφαλὴν ἀνεμάξατο· καὶ καθόλου δὲ πᾶς [illegible] ὃν εἰργάσατο κακὸν καθ' ἑαυτοῦ τὴν ψῆφον ἐν ἡμέρᾳ κρίσεως φέρει:

διδύμου

Ὁ προφήτης ὥσπερ συνταράττων τοῦ θεοῦ· ἱνατί ἀφέστηκας μακρόθεν· ἀπὸ κριμάτων δὲ ὁ λόγος αὐτῷ ὅτι τὸ χρήσιμον τοῦ θεοῦ εἰς μετάνοιαν ἄγει τοὺς ἁμαρτάνοντας· ἡ δὲ ἁμαρτία μακρὰν διορίζει τοὺς ἁμαρτάνοντας τοῦ θεοῦ. κατὰ τὸ αἱ ἁμαρτίαι ὑμῶν διιστῶσι μεταξὺ ἐμοῦ καὶ ὑμῶν· ἄλλως γὰρ πανταχοῦ πάρεστι· κατὰ τὸ ἐγγίζων ἐγώ εἰμι λέγει κύριος καὶ οὐ θεὸς πόρρωθεν. ἀλλ' ὅμως φησὶν ὥσπερ μακρὰν τῶν δικαίων ὑπερορᾷς αὐτοὺς ὑπὸ τῶν ἀδίκων καταπονουμένους. ὁ ὑπερβαίνων μεγαλύνει τὴν ὑπερηφανίαν. τὸν δὲ ἐσόμενον ἐμπυρίζει πένητα· ζηλοῦντα ζῆλον θεοῦ καὶ φλεγόμενον τὴν ψυχήν : θεοδωρ(ήτου) τουτέστι δὲ περιπλέκει λογισμοῖς αὐτούς ἀπορεῖν ποιεῖ περὶ τῆς σῆς διεχούσης προνοίας· τοῦτο γὰρ σημαίνει τὸ συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται :

διδύμου δοκεῖς πόρρωθεν ἱστάναι καὶ μὴ ὁρᾶν τὰ ἀνθρώπεια· τοῖς ἀδικουμένοις οὐκ ἐπαμύνων ὑπὸ δὲ τῆς ἀθυμίας οἱ μὲν πένητες πυρπολοῦνται οἱ ἀδικούμενοι κατατήκονται τῶν ἀδικούντων τὴν ἀλαζονείαν θεώμενοι. σφόδρα δὲ προσφυὲς τὸ ἐμπυρίζεσθαι ἐπὶ τῶν ἀδικούντων τεθεικέναι· ἐμπιπραμένοις γὰρ οἱ ἀθυμοῦντες ἐοίκασιν καὶ οἷον τινα καπνὸν διαπέμπουσι [illegible] ἀπὸ τῆς ἀδικίας γεννῶσι λογισμοῖς οὐκ εὐπορίαις χρωμένοις ἀλλὰ περὶ τῆς σῆς διεχούσης προνοίας· τοῦτο γὰρ σημαίνει τὸ συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται καὶ τὴν αἰτίαν διδασκαλίαν ἐπάγει : ἡ ἀκολουθία τῆς διανοίας ἐστὶν αὕτη ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται

Ὁ πτωχὸς ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ· τὸ δέ συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται διὰ μέσου εἴρηται· τὰ δὲ διὰ μέσου παρεμβάλλεται διὰ τὸ μέτρον. ἐπειδὴ γὰρ οὐ λογάδην εἴρηται τὰ τῶν ψαλμῶν ἀναμέτρως τινὶ ὑπὲρ τοῦ σώζεσθαι τὸ μέτρον πολλάκις τινὰ ἐντίθεσθαι διὰ τοῦ μέσου οἷον ἐστὶ μὲν αὐτὸ τοῦτο εὑρήσομεν δὲ καὶ ἑτέρα. νοῦ λέγει δὲ εἰπὼν ὅτι ὁ τοιοῦτος ὑπερηφανία καὶ ἡ εὐπραγία καὶ τὸ ἐπαινεῖσθαι παρὰ πάντων αὐτῶν ἐν οἷς ἀδικῶν ἔχαιρον πλουτεῖ καὶ ἐπὶ τούτοις θαυμάζεσθαι παρὰ τῶν πολλῶν δέον ἐγκαλεῖσθαι καὶ μισεῖσθαι διὰ τὸν τρόπον ζόμενος ἐκτήκει τὸν πένητα λυπεῖ μὲν γὰρ προηγουμένως ἡ ἀδικία τοὺς πένητας λυπεῖ δὲ αὐτοὺς μειζόνως τὸ τοὺς ἀδικοῦντας αὐτοὺς μὴ δίδοναι δίκας παραχρῆμα ἀλλὰ ἐξετάζεσθαι ἐν εὐπραγίᾳ παρὰ πάντων θαυμαζομένους διὰ τὸν περιόντα πλοῦτον ἐξ ἀδικίας. ἡ συνακολουθία τῆς διανοίας αὕτη· τὸ δὲ διὰ μέσου τὸ συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται συλλαμ-περὶ τῶν πλουσίων λέγει· ἐν αὐτοῖς φησιν οἷς διαλογίζονται συλλαμβάνονται τουτέστιν ὑπ' αὐτῶν τῶν ἰδίων ἐνθυμημάτων κατακρίνονται καὶ συνάγονται καὶ συνωθοῦνται εἰς τὴν τοῦ θεοῦ ἀπόφασιν : θεοδώρου

μυρία γὰρ δεινὰ δράσαντες καὶ ἐπαίνους παρὰ τῶν κολάκων καρποῦνται : ἡ ἐπειδὴ ὁ θεὸς ὁ δρασσόμενος ἐστὶ τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν μετὰ τὸ ἀποτυχεῖν. τοῦτο αὐτὸ ἤδη γενέσθαι παρακαλεῖ. ἐπὶ πολλαῖς γὰρ ἀσεβείαις ὁρῶντες αὐτοὺς οἱ πολλοὶ εὐθυμοῦντας μόνους τὸ καὶ μηδενὶ λυπηρῷ περιπίπτοντας μακαρίους αὐτοὺς ἡγοῦνται καὶ ἐπαίνων ἀξίους. κακεῖνοι τὸ μέγα αὐχοῦντες καὶ οἱ ζηλωταὶ τῆς κακίας γενόμενοι : διδύμου

ἄπειροι γὰρ δογμάτων εὐσεβείας ὑπάρχοντες. οἴονται τούτους εὐλογεῖσθαι παρὰ θεοῦ. καίτοι τῆς τοῦ θεοῦ εὐλογίας δικαίοις μόνοις παρεχομένης : εὐσεβίου καισαρ(είας)

τῇ παρούσῃ τῶν ἀσεβῶν ἐπεξέρχεται καταστάσει· τὴν μέλλουσαν κρίσιν ἀναγκαίαν δείξαι βουλόμενος· τὸ δὲ παρώξυνε· διὰ μὲν ἀκύλας ἐν μίᾳ εἶπεν· τοὺς περὶ θεοῦ γὰρ κιβδήλους λόγους ἀληθεῶς διασύρουσιν. ἐπὶ μὲν τῶν δεινῶν ἁμαρτίαις πρὸ θεοῦ ζητεῖν ἐμποδίζεται· συνάγων ἑαυτῷ πλῆθος ὀργῆς. διὸ μὴ ζητεῖ καὶ τὰς περὶ θεοῦ φύσεις ἐννοεῖ περικομπούμενος· καὶ τοὺς υἱοὺς τὰς ὁδοὺς ἀκαθάρτους ἔχοντα τούτου ἐν χάριν διὰ παντὸς καὶ τοῦ θεοῦ τὰ κρίματα ἀνθαιρούμενος ἐν τῷ συγχωρεῖσθαι μάλιστα κατακυριεύειν τῶν ἐχθρῶν : θεοδωρ(ήτου) λέγων τὸ οὐκ ἐκζητήσει διὰ τὸ παροξύνας τὸν κύριον λέγων οὐκ ἐκζητήσει· μὴ εἰς γὰρ πρὸ πάσης ἁμαρτίας ἡ γε εἰ τὸν κριτὴν μὴ ἐκζητεῖν ταξάμενον : διδύμου ἡ οὕτως εἰκαστικῶς ἀκροᾶται αὐτοῦ καὶ ἀμετανόητον καρδίαν θησαυρίζει αὐτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς ὑπερήφανος καὶ τὸν πτωχὸν ἐμπυρίζων· ἀλλ' ὡς οὐ κατὰ τὸ πλῆθος καὶ μέγεθος αὐτῆς ἐκζητήσεως ἐν ἡμέρᾳ κρίσεως ἔσται παρακέκληται. ἢ γὰρ ἂν ἀρδην ἀπώλλυντο καὶ παρ' αὐτὰ οἱ κακοὶ οἱ περιορώντες φασιν· ἐπαινούμενοι παρατηρήσει κύριε τίς ὑποστήσεται. ἀποστρέψας δὲ τὸ τὸν θεὸν παροξύνειν αὐτόν· διὸ προσεῖπε τοιούτους φησὶν ὁ θεός· ἔαρθαι ἐπιδέχεται αὐτῶν καὶ οὐχὶ πρόσωπον· ταύτης ἀρξάμενος τῆς ἀσεβείας οἰκεῖ. ἐξ ἧς ἐλθὼν ἀπὸ προσώπου κυρίου ἀποστραφεὶς αὐτὸν δηλονότι· τὸ δὲ διὰ ὅλου τὰ ῥήματα τῶν μᾶλλον ἁρμόσει· ἐν τινὶ γὰρ ἀεὶ βεβηλοῦνται αἱ ὁδοὶ ἐν παντὶ καιρῷ· καὶ ἀσεβὴς γὰρ τῶν καθηκόντων ἐπιτελοῦσι πολλὰ καὶ διείλε βεβηλοῖ πρὸ ταῖς ἁμαρτίαις ἀναιρεῖσθαι ποιεῖ καὶ ἀπορροφεῖν εἶναι διδασκαλίαν τὸ πᾶν πρόσωπον εἰς πεσὸν τῆς ὀρθῆς γνώμης περὶ θεοῦ διοικήσεως καὶ κρίσεως. ὁ ποιῶν τὸ ἀνταναιρεῖται τὰ κρίματα σου ἀπὸ προσώπου αὐτοῦ διακεῖται δὲ θνητὸς καὶ κατακυριεύσει τῶν ἰδίων ἐχθρῶν. τῶν γὰρ ἀγαθῶν ἐστὶ λύσει μόνων δεῖται ποιούντων τὴν ἁμαρτίαν. ὡς ἐνεργῶν αὐτὴν ἐν αὐτοῖς. κατὰ διαφορὸν ἀκόρεστον αὐτοῦ τῆς κακίας ἐπάγει : θεοδώρου ἐνταῦθα ὑποστικτέον εἶτα ἐπιφερεκτέον :

ἀντὶ τοῦ παροξύνει τὸν κύριον λέγων οὐκ ἐκζητήσει μανίας γὰρ καὶ λύττης χρώμενος ὥσπερ οὐδενὸς ἐφορῶντος ἐπὶ πᾶσαν ἄγει παρανομίαν οὐχ ἡγούμενος ἐκζητεῖν τὸν κριτὴν ταλμώμενα ἐπὶ τὰ τοιοῦτο σαφέστερον λέγει : ἀθαν(ασίου) καθ' ὑπόστασιν υἱῶν ἡ ἀγαθώσύνη· θεοδ(ωρήτου) ἀντιο(χείας)

Οὐκ ἐκζητήσει φησὶν ὁ θεὸς καὶ ἀποδώσει αὐτῷ κατὰ τὴν ὀργὴν ἣν ἑαυτῷ ἐθησαύρισεν ἐν ἡμέρᾳ ὀργῆς : θεοδ(ωρήτου) ἀντιο(χείας) διὰ τὴν ὑπερβολὴν φησὶν τῆς ὑπερηφανίας αὐτοῦ καὶ τοῦ θυμοῦ τοῦ κατὰ τῶν πενήτων οὐκ ἐκζητεῖ τὸν δεσπότην οὐ δέον ὅτι ἀπέπειρε σκοπὸν αὐτοῦ τὸ γινόμενον : διδύμου · εἰ γὰρ ἐκζητήσεις κατὰ τὸ πλῆθος τῆς ὀργῆς ἄρδην ἀπώλοντο ἀπώλοντο παρ' αὐτὰ οἱ κακοὶ τοῦτο αὐτὸ θεωρήσαντες τὸ ἀγαθὸν τὴν πολλὴν ἐνδεικνύμενοι φασιν· ἐπαινούμενος παρατηρήσει κύριε τίς ὑποστήσεται :

διδύμου παντὶ δὲ λαοῦ τὸν σὸν νόμον καταφρονεῖ πάντα καιρὸν ἐν παρανομίαν διάγων : κυρί(λλου) πάντως ἄλλου φιλαμαρτήμονος ἐξ αἰσχίστου καὶ ἔποντος ἐστὶ τὸ πλημμελὲς καὶ ὁ λοιπὸς τρόπος ἐκ γένους κοινωνῶς ἐστὶ τὸ παροξύνειν θεὸν διὰ τοῦ μὴ ἔχειν αὐτὸν ἐνώπιον αὐτοῦ βεβηλοῦνται πάντως αἱ ὁδοὶ τουτέστιν αἱ πράξεις καὶ ἀκαθαρσίας εἰσὶν μεσταὶ καὶ τῆς φαυλότητος κορυφοῦνται καὶ κολάζουσι προσαναιρεῖν τῶν τοῦ θεοῦ κριμάτων ἡ τοιαύτη σαφὰς ἁμαρτίας μάλιστα τῆς κοινωνίας τῶν ἰερῶν σημαντικά· ἄλλως καὶ τοι αὐτὰ δρῶν κατευοδοῦται εἰ παρ' αὐτοῦ τύφου τὴν ὑπερβολὴν ζωγραφεῖ : θεοδώρου ἐναντίων καταστάσεις ἀντὶ τοῦ κατακυριεύει· τὸ γὰρ γινόμενον ὑπὸ τοῦ ἀδικοῦντος διηγεῖται ἀντὶ τοῦ διὰ τοῦτο πάντων κρατεῖ καὶ πάντας ἀφειδῶς ἀδικεῖ σαφέστερον δὲ σύμμαχος εἰπὼν πάντας τοὺς ἐχθροὺς αὐτοῦ ἐκφυσᾷ :

ἀθαν(ασίου) Ὁ μόνον τὴν οἰκουμένην ὅλην καταλύομαι τῇ χειρὶ ὡς νοσσιάν : ἡσυχ(ίου) δηλαδὴ τῶν ἐχθρῶν τοῦ θεοῦ κατακυριεῦσαι γὰρ τῆς ψυχῆς ἄλλας καὶ φίλος θεοῦ οὐ δύναται ἀλλὰ ταύτης ἡ ἑαυτὴν διὰ τῆς σωτηρίας ὑπισχνούμενα : ἡσυχ(ίου)

Οὐκ ἀναιρεῖται ἀλλ' ἀνταναιρεῖται ἐπειδὴ γὰρ ὁ θεὸς ἀναιρεῖ τὴν ἁμαρτίαν τὴν κρίσιν ἐπιτείλας αὐτὸς ἀπειλεῖ τοῖς ἁμαρτωλοῖς τὴν περὶ τῆς κρίσεως ἀπειλὴν πιστεύουσιν καὶ ἀνταναίρεσιν ὡς περὶ τῆς κρίσεως τὴν ἀπειλὴν ἐπινοήσειν :

Ἱνατί κύριε ἀφέστηκας μακρόθεν ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσι :

Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχὸς συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται :

Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ καὶ ὁ ἀδικῶν ἐνευλογεῖται :

Παρώξυνε τὸν κύριον ὁ ἁμαρτωλὸς κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει : Οὐκ ἔστιν ὁ θεὸς ἐνώπιον αὐτοῦ βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ :

Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει :

ἀφόβως ἐν ἅπασι γενεαῖς ἐνεργεῖ τὸ κακόν· ὥσπερ τις ὑπολαμβάνοι πάντας εἰρῆσθαι καθόλου νομίζων ἐχθρούς· καίτοι τῶν πατριαρ-
χῶν καὶ προφητῶν καὶ ἀποστόλων οὐκ ἐκυρίευσεν· αὐτοὶ γὰρ ὑπὸ πόδας ἔσχον αὐτὸν τοῦ ιυ τὴν ἐξουσίαν ταύτην ὁρίζαντος·
οὐκοῦν ἐχθροὺς μόνους φησὶ τοὺς ἁγίους: ΘΕΟΔ: σαφέστερον τοῦτο ὁ σύμμαχος ἡρμήνευσεν [illegible]
γενεὰν καὶ γενεὰν οὐκ ἔσομαι ἐν κακώσει· καὶ ταύτῃ κέχρηται τῇ θρασύτητι καὶ λέγεται μηδὲν δεινὸν ὑπομένειν [illegible]
τῶν τῆς κακίας τὰ εἴδη: ΗΣΥΧ: ἐνταῦθα τοῦ σατανᾶ μηνύει τὴν ἀπόγνωσιν τὰς τιμωρίας τὰς ἀποκειμένας αὐτῷ
κατὰ τὴν μέλλουσαν γενεὰν [illegible] πρᾶξαι τι παντὸς κακοῦ πρὶν ἀπὸ γενεᾶς εἰς γενεὰν τουτέστιν ἀπὸ τοῦ παρόντος
αἰῶνος εἰς τὸν μέλλοντα μεταστῆναι [illegible]: ΘΕΟ: δόλους γὰρ ῥάπτει καὶ τυρεύει καὶ κακίας ἰὸν ἔχει [illegible]
[illegible] τὴν εὐημερίαν [illegible] πικρίας καὶ δόλου τὸ στόμα [illegible]
[illegible] προσεχεῖς ἀποκτεῖναι [illegible]
κοῖς· οὗτοι γὰρ τοῦ διαβόλου κατὰ τῶν πτωχῶν τῶν περὶ αὐτὸν συμπράττουσιν: ΔΙ: [illegible]
[illegible] ἀληθείας [illegible] ἀρᾶς πλήρες ἔχει τὸ στόμα· [illegible]
[illegible] ὁ λόγος αὐτοῦ· τοῦτο γὰρ στόμα· οὐδὲν δὲ προφέρει χρηστόν· [illegible] κόπον ἐμποιήσει καὶ πόνον:
[illegible] ἐνεδρεύει δὲ καὶ τοὺς πτωχοὺς [illegible]
προσποιούμενος [illegible] ὁ δὲ σύμμαχος [illegible] ἐνεδρεύων [illegible]
καὶ ψυχὰς [illegible] ἐνεδρεύει δὲ ὡς λέων [illegible]
[illegible]
τοιοῦτον γὰρ τὸ ἑλκύσαι· ὁ δὲ πολλάκις ἐν ἔργῳ [illegible] καὶ ποιεῖν τὸν πτωχόν: ΘΕΟΔΩΡΗΤΟΥ

Εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ· οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ: Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου· ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος: Ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις τοῦ ἀποκτεῖναι ἀθῷον: Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν· ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ: Ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν: Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν· κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων: Εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ· ἐπιλέλησται ὁ θεός, ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος:

[illegible] παραλλοίως τοῖς ἄλλοις παραδιδόμενος τάφῳ: ΕΥΣΕΒΙΟΥ
καὶ ταῦτα πράττει παραλογιζόμενος ἑαυτὸν ὡς οὐχ ὁρῶντος θυ: ΔΙ
[illegible] ὁ διάβολος [illegible] εἶναι πλουσίους ἐν λόγῳ [illegible]
[illegible] κρυφὰ λαμβάνειν βουλόμενος [illegible]
ἀποκτεῖναι [illegible] τοῖς [illegible] αὐτοῦ [illegible]
[illegible]
κρύφοις [illegible] καὶ τὸ [illegible]
[illegible] τοῖς ἰδίοις ἀποκτεῖναι [illegible]
[illegible] διὸ τοὺς ὀφθαλμοὺς ὡς εἰς [illegible]
ται· τὸν αὐτὸν ὄντα τῶν [illegible] πτωχῶν ἐπὶ τὴν τοῦ ἀσθενοῦς
[illegible]
[illegible]
ὡς λέων [illegible]
τὸν [illegible] φιλαργυρίας λόγον [illegible] καὶ [illegible]
[illegible] ἀκολασίας [illegible]
[illegible]
[illegible]
καὶ τὴν πρόνοιαν ἀθετῶν: ΘΕΟΔΩΡΟΥ:
[illegible] τούτων ῥημάτων· [illegible] ὁ προφήτης [illegible]
καὶ [illegible] ἐν συνεδρίοις καθήμενος ἐν ἐνέδραις [illegible]
[illegible] τοῖς ἀναιτίοις κατασκευάζει: [illegible]
[illegible] οἱ ὀφθαλμοὶ τοῦ διαβόλου [illegible]
[illegible]: ΘΕΟΔΩΡΟΥ
[illegible]
[illegible]
[illegible]: ΚΥΡΙΛΛΟΥ
φασὶ μὲν γὰρ ἐν τοῖς ὄρεσι τοὺς λέοντας ἐν ταῖς οἰκείαις μάνδραις [illegible]
[illegible]
[illegible]
[illegible]
[illegible] καὶ ἁρπάζει τὸ παρατυχὸν [illegible]
[illegible] γὰρ [illegible] φησὶν καὶ [illegible]
[illegible] ὁ διάβολος: ΔΙΔΥΜΟΥ
ἐν τῇ [illegible] ἐν τῇ παγίδι αὐτοῦ [illegible]
[illegible] τὸν ἰουδαν διὰ φιλαργυρίας [illegible] καὶ ἑλκύσας πρὸς
ἑαυτὸν [illegible] ἐν αὐτῷ: ΗΣΥΧΙΟΥ
παγὶς τοῦ διαβόλου πᾶσα πρᾶξις εἰς κακίαν προτρέπουσα [illegible] τοὺς ἁμαρτωλοὺς ταπεινοῖ συλλαμβάνουσα: ΚΥΡΙΛ:
[illegible] ὁ διάβολος· [illegible] ταπεινοῦται [illegible] καὶ οἰκεία [illegible]
χυ καὶ κατήργηθη ὁ τύραννος ὁ πεποιθὼς [illegible]: ΚΥΡΙΛΛΟΥ
[illegible] κατακυριεῦσαι φησὶν τὸν ἀσθενῆ τῶν πενήτων [illegible]
[illegible] καὶ τὸν [illegible] καὶ πεσεῖται τουτέστιν ταπεινωθήσεται καὶ
[illegible] πρὸς [illegible]: ΗΣΥΧΙΟΥ
ὁ γὰρ διάβολος [illegible] κατακυριεύων τῶν ἁμαρτωλῶν [illegible]
[illegible]: ΘΕΟΔΩΡΟΥ
[illegible] λογισμοὶ [illegible] τῶν πραγμάτων [illegible]
[illegible] τούτων ῥημάτων [illegible] ὁ προφήτης [illegible]
[illegible]: ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟ:
ἐν τούτῳ γὰρ μάλιστα φησὶ [illegible] ἐν τῷ τολμῆσαι [illegible] περὶ αὐτοῦ [illegible]
[illegible]: ΑΘΑΝΑΣΙΟΥ
τοῦτο αἴτιον καὶ τοῦ ἐπαρθῆναι καὶ τοῦ πεσεῖν αὐτόν: ΗΣΥΧΙΟΥ:
λέγει ταῦτα ὁ διάβολος οὐχ οὕτως ἔχων ἀλλ' ἡμᾶς ἀπατῆσαι βουλόμενος [illegible] τὸν θν τῶν ἀνθρωπίνων
νομίζοντες:

ΘΕΟΔΩΡΟΥ

ἐπειδὴ δὲ οἱ δυσσεβεῖς καὶ παράνομοι ἀσυζῶντες δι' ὧν πράττουσιν λέγουσιν ὡς ἐπιλέλησται ὁ θεὸς διαζομαι αὐτῆς διαστῆσαι πεῖραν ὡς οὐκ ἐπιλέλησται οὐδὲ ἀποστρέφεις τὸ πρόσωπόν σου ἀλλὰ τῶν ἀδικουμένων κηδεμονίαν ποιῇ καὶ σφοδρότερον ἀχθεσθ[εὶς] τὰς ἐκείνων βλασφημίας ἐπήγαγεν:

ΕΥΣΕΒΙΟΥ

χεῖρα δὲ ὑψουμένην τὴν τροπικῶς δύναμιν σημαίνει τοῦ θεοῦ τὴν κριτικήν:

ΚΥΡΙΛΛΟΥ

καταπαυσάτω ἡ χείρ σου φησὶν καὶ ὑψούσθω λοιπὸν ἐπιφέρουσα τοῖς πλημμελοῦσιν τὴν μάστιγα κατὰ τὸ εἰρημένον διὰ τῆς ἡσαΐου φωνῆς ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. αἴρεσθαι γὰρ ἀεὶ πως ὑψοῦ τῶν παιόντων ἡ χεὶρ ἔοικε γὰρ οὕτως σημαίνεσθαι τὴν αἰσχύνην καὶ τὸ θράσος χεῖρα φησὶν τοῦ θεοῦ τὴν πάντα ἰσχύουσαν ἑαυτοῦ ζωοποιὸν καὶ ἐνυπόστατον δύναμιν φησὶν δὴ τὸν υἱὸν δι' οὗ τὰ πάντα ἐργάζεται οὕτω γάρ που φησὶν ὁ θεὸς καὶ ἡ χείρ μου ἐστερεώσατο τὸν οὐρανόν:

φ ἐκδεδομένων δυσσεβῶν τούτων ῥημάτων ἀνιαθεὶς ὁ προφήτης πάλιν εὔχεται λέγων ταῦτα:

λ δεῖξαι τὴν πεῖραν τὸν θεὸν τῶν ὅσου κἂν ἐπιλέλησται τῶν πτωχῶν καὶ τὴν ἀσεβοῦς βλασφημίας ὑπομνησθῇ λέγων:

θεο καὶ τοῖς οὖν ἐπιλανθανομένοις τοιοῦτον γὰρ τὸ ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς. οὕτω γὰρ ὁ σύμμαχος ἐκδέδωκε λέγων ὁρᾷς ὅτι σὺ μόχθον καὶ παροργισμὸν ἐπιβλέπεις ἤδη ὡς γὰρ φησὶν οὕτω πιεζόμενοι κἂν ἐκεῖνοι μὴ λέγωσι:

λ θεο ἀλλὰ κἂν μυριάκις ἐκεῖνος ταῦτα λογίζηται οὐ λανθάνεις οὕτως γὰρ νόησον:

ΗΣΥΧΙΟΥ

ἐρωτᾷ ποίαν ὁ θεὸς τοῦ ἀσεβοῦς διαβόλου ἢ καὶ τοῦ λαοῦ ἀσεβήσαντος ἀφ' οὗ ἁμαρτίαν ἀπορρῆξαι μάλιστα ἐπὶ ταὐτὸ ἐπάγων τὴν ἐρώτησιν ἔλυσεν. εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ οὐκ ἐκζητήσει. συκοφαντεῖ τὸν θεὸν φησὶν ὡς ἀπρονόητα καὶ ἀνεξιχνίαστα εἶναι συγχωροῦντα τὰ ἡμέτερα ὃ πέρα πολλάς προτροπὴ τοῖς ἀπατωμένοις εὑρίσκεται. τοιγαροῦν ἀκολούθως προσέθηκεν:

ΘΕΟΔΩΡΟΥ

Οὕτως γὰρ καὶ ὁ σύμμαχος ἐκδέδωκε λέγων ὁρᾷς ὅτι σὺ μόχθον καὶ παροργισμὸν ἐπιβλέπεις καὶ ὁ ἀκύλας ἔλεξεν ὅτι σὺ πόνον καὶ παροργισμὸν ἐπιβλέπεις κἂν μυριάκις φησὶν εἴπωσιν οἱ δυσσεβεῖς ἀσυζῶντες ὅτι οὐκ ἐπιβλέπεις τὰ ἀνθρώπινα ἡμεῖς ἴσμεν ὅτι ἐπιβλέπεις καὶ ἐπιτηρεῖς τὰς τούτων παρανομίας καὶ τὴν ἀξίαν αὐτοὺς εἰσπράξῃ ποινήν:

θ λ οὔ φησιν ὡς κύριε πάντα γινώσκεις καὶ οὐδέν σε τῶν πραττομένων λανθάνει οὐδὲ τῶν ἐν διανοίᾳ καὶ λογισμῶν ἀνιόντων ἀλλὰ καὶ τοὺς πόνους τῶν ἀνθρώπων καὶ τοὺς θυμοὺς τῶν ἐνεργαζομένων καὶ τοὺς παροργισμοὺς οἶδας ἀκριβῶς ἐπειδὴ πάντων τοὺς λογισμοὺς κατανοεῖς καὶ ὁ ἐτάζων καρδίας καὶ νεφροὺς καὶ ταῦτα ἐφορῶν μακροθυμεῖς ἐπειδὴ ὅτι ὑπὸ τὰς χεῖράς σου πάντες τυγχάνουσι καὶ οὐκ ἔστι πού ἐκ τοῦ οὐδὲ ἑνὶ διαδρᾶναι:

ΚΥΡΙΛΛΟΥ

ὡς ἐν ἐρωτήσει καὶ ὑποστιγμῇ τὸν πρῶτον ἀναγνωστέον στίχον ὡς ἀπόδοσιν αἰτίας τὸν δεύτερον ποιησόμεθα. ἀλλ' ὁ μὲν ἀσεβὴς ᾠήθη καθεὸν τὸν μὴ ἐκζητεῖν τὸν θεὸν μηδὲ μὴν ἐφορᾶν τὰ ἀνθρώπινα ὅτι δὲ τῆς ἀληθείας ἐσφάλη καὶ τοῦ εἰδέναι τὴν ἐν νοῦ ἤμβροτεν τὰ τοῦ θεοῦ καὶ φιλανθρωπίας ἀπεικονίσθη μακρὰν αὐτὰ δι' ἑαυτῶν νοήσει τὰ πράγματα τὰ καθ' ἡμᾶς εἰ δῆλον ἂν πολλὰ ὁ θεὸς οὐδαμῶς ἀλλ' ἐπιτηροῦντος τὸν ἐμαυτοῦ ζητῆσαι τὸ ἀπολωλὸς ἐπαναρθῆναι τὸν πεπλανημένον ἀναρρώννυται τὸ ἀσθενὲς ἀπαλλάσσονται τοῦ νοσεῖν τὸ συντετριμμένον:

λ θεο ΔΝ πρὸ θεοῦ ὑψηλοῦ εἰ ταρ ἤματα αἰτία γὰρ τοῦ ὅτι ἐπιβλέπεις κεῖται ἐπεὶ ὅτι τοῦτο δὲ ἀπὸ τῆς ἑρμηνείας γέγονε τοῦ ἑβραϊκοῦ ἐπειδὴ γὰρ εἶπε τῶν ἀδικούντων εἶπεν τὸ εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ οὐκ ἐκζητήσει. ἐπήγαγεν τὸ ἐπιβλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς τοῦτο οὖν μένος ὁ προφήτης θεὸν εἰπεῖν ὅτι προσέχειν δὲ ἐκεῖνος ὁ ἄδικος ταῦτα λογίζεσθαι ὅτι μὴ μέλλεις παρὰ τῶν ἀδικουμένων μηδὲ ἐκζητεῖν νομίζειν ἐπειδὴ ὁρῶν αὐτῶν τὴν ὀργὴν καὶ τὴν πονηρίαν οὐκ εὐθὺς ἐπεξέρχῃ τοῖς γινομένοις ἀλλὰ κατανοεῖς τουτέστι μένεις ἕως ἂν ἐκ τοῦ πλήθους τῶν ἰδίων κακῶν ἑαυτοὺς ἐκεῖνοι ταῖς σαῖς παραδῶσι χερσὶν τῷ πλήθει τῆς οἰκείας ἀδικίας ἐπισπασάμενοι καθ' ἑαυτῶν τὴν τιμωρίαν. τοῦτο δὲ λέγει ἐκ μεταφορᾶς τῶν μέχρις μὲν ἑνὸς καὶ δευτέρου κακοῦ μὴ ἠρεμούντων τὸ δὲ πλῆθος τῶν γινομένων ἑαυτοὺς ἀγόντων εἰς τὰ δικαστήρια διὰ τὸ τῶν ἀδικουμένων πλῆθος οὐ λέγεται δὲ δεῖξαι τοῦ θεοῦ τὴν μακροθυμίαν:

Ἀνάστηθι κύριε ὁ θεός μου ὑψωθήτω ἡ χείρ σου μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος:

Ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν θεόν εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ οὐκ ἐκζητήσει:

Βλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σου:

Σοὶ ἐγκαταλέλειπται ὁ πτωχὸς ὀρφανῷ σὺ ἦσθα βοηθός:

Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ:

ΘΕΟΔΩΡΟΥ ιγ'

Ὁ πένης ἐὰν σοῦ ζητοῦντος τὴν ἁμαρτίαν αὐτοῦ. φροῦδον γὰρ αὐτὸν τοῦτο ποιήσειεν. διόπερ ἐπάγει: διὰ τοῦτο σοὶ ἐγκαταλέλειπται ὁ πτωχός. ἀλλὰ τῶν πονηρῶν καὶ συνθραυόντων τὸν ἀσθενῆ καὶ ἀνεπικούρητον τὴν παρ' αὐτοῦ καὶ μόνου ζητουμένους ἐπικουρίαν. δύνασαι γὰρ διασώζειν τοὺς πτωχούς τε καὶ ὀρφανοὺς αὐτοὶ δὲ ἂν εἶεν καὶ μάλα εἰκότως οἱ οὕτω θεὸν τὸν φύσει καὶ ἀληθῶς ἐπεγνωκότες καὶ πτωχοὶ μὲν ὡς πλοῦτον οὐκ ἔχοντες τῶν ἐκ θείων τε καὶ ἱερῶν χαρισμάτων ἠγνοούντων ἐκ πολιτείας εὐαγοῦς καὶ ζωῆς τῆς κατὰ Χριστὸν ὀρφανοὶ δὲ ὡς οὔπω λαχόντες πατέρα τὸν θεὸν δέδωκε γὰρ ἐξουσίαν οὗτος τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ τέκνα θεοῦ γενέσθαι οἱ τοίνυν οὕτω πιστεύσαντες οὔπω μὴν τὴν ἐξ ὕδατος τε καὶ πνεύματος ἔχοντες ἀναγέννησιν ὀρφανοί που πάντως νοηθεῖεν:

ΔΙΔΥΜΟΥ

προϊστάμενος καὶ ἀνατρέφων αὐτοὺς ὡς ὑπὸ τάξιν ὀρφανῶν ἐν τούτοις ἐκλαμβάνειν δεῖ τὸν ποτὲ ἔχοντα πατέρα τὸν διάβολον μακαρίας δὲ ἀπονενευκότα μετανοίας τρόπῳ ὁ συμμολογοῦντος προσληφθέντων ὀρφανῶν ἐπιτρόπῳ θείαν ἔχειν ὑπὸ θεοῦ ἀβραὰμ καταλιπὼν τὸν οἶκον τοῦ πατρὸς ἵνα θεῷ ἀκολουθήσῃ κεκλημένος καὶ οἱ ζεβεδαίου υἱοὶ ἀφέντες τὸν πατέρα προτροπῇ τοῦ εἰπόντος ἵνα ἀκολουθεῖτε μοι:

ΘΕΟΔΩΡΟΥ

ἔσται δὲ τοῦτο ἐὰν μόνον τὴν ἁμαρτίαν αὐτοῦ ζητῆσαι θελήσῃς. εἰ γὰρ τοῦτο γένοιτο παραυτίκα φροῦδος ἔσται καὶ πανωλεθρίᾳ παραδοθήσεται. τοῦτο γὰρ ἐδήλωσεν εἰρηκώς:

ΚΥΡΙΛΛΟΥ

Ἀλλὰ περ ἐπὶ σῆς καὶ τῆς καὶ παντὸς ἔοικε μὲν τῆς προσευχῆς τὸ χρῆμα. ὅσιον γὰρ καὶ παντὶ τῷ ὡς χρήσιμον τὸ πάντως ἁμαρτωλοὺς συντρίψεσθαι τὸν βραχίονα τουτέστι τὴν δυναστείαν ἐπ' οὐδενὶ γὰρ ἔχουσιν αὐτὴν ἔχθρως πλὴν ὅτι μόνον ἐπὶ τῷ συντρίβειν πτωχοὺς καὶ ἀπολλύναι τοὺς ὀρφανούς:

ΔΙΔΥΜΟΥ

Ἁμαρτωλὸς τις ἂν εἴη καὶ πονηρὸς μετὰ τοῦ ἄρθρου εἰρημένος ὁ διάβολος τούτου οὖν βραχίονα ὑποκεῖσθαι συντριβῆσαι καὶ ἡ ἁμαρτία αὐτοῦ ζητουμένη οὐχ εὑρίσκεται. ἔχουσα ἐν τῷ ἐπιτελεῖσθαι τὸ τέλος λαμβάνουσα. οὐ γὰρ οὐσία τις ἐστὶ τῶν κακῶν ἁμαρτία ὅτι καὶ οὕτως ἐν ἀνῆψαι τὸ ἐπὶ πᾶσι τέλος οὗ χάριν τὰ ἄλλα πάντα γέγονεν αὐτὸς δὲ οὐδενὸς ἕνεκα ἐστίν:

οὕτως ἐπὶ τὴν τῶν ἀσεβῶν κρίσιν διεγείρει λοιπὸν τὴν ἀρχὴν τοῦ θεοῦ· ἡ δὲ χεὶρ αὐτοῦ δηλονότι ἡ δύναμις ἐδήλου κριτικήν· ἔμπροσθεν
γὰρ αὐτὴ μὴ τιμωρεῖται τοὺς ἀσεβεῖς ἐπιλελῆσθαι δοκεῖ ἀποδιδοῦσα δὲ ἑκάστῳ κατὰ τὸ δίκαιον ὑψοῦσθαι λέγεται·
οὐδεὶς ἀποδράσεται· διὸ φησί· τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σου· τοιγαροῦν ὅσος ὁ ψόγος ἀκούσας τῶν σῶν λόγων φασκόν-
των· μὴ ἑαυτοὺς ἐκδικοῦντες ἀγαπητοί· ἀλλὰ δότε τόπον τῇ ὀργῇ· ἐμοὶ ἐκδίκησις ἐγὼ ἀνταποδώσω λέγει κύριος:
ἐκδικεῖν γὰρ εὐθέως δυνάμενος τὸν ὑβρίζοντα· διά τι χρήσιμον παρορᾷ θλιβομένους ὅσα μὴ ὀφελεῖ· φέρε τις διὰ τῆς προσ- **ΔΙΔΥΜΟΥ**
κακώσεως ἑκουσίως ἑαυτοὺς παραδῶσιν εἰς τὰς χεῖράς σου· ὡς τὸν ἔχοντά τις λοιπὸν παιδεύεσθαι καὶ ἀρχεσθαι
ποσου· σοὶ οὖν ἐγκαταλέλειπται ὁ πτωχὸς ἐπὶ τῇ σωτηρίᾳ τῆς αὐτοῦ σωτηρίας οἰκονομήσεις ἵνα πλούσιος γένηται· πλοῦτον λαβὼν
οὕτω καὶ τὸν ὀρφανὸν εἰς υἱοὺς τάξιν ἀνατρέφει· προϊστάμενος· ὥσπερ ὠφέλει ἀπὸ τοῦ πρὸ αὐτοῦ ποτὲ διαβό-
λου κακίαν· ὥσπερ διὰ μεταμελείας ἀπαλλάσσεσθαι· μετὰ τὸ φρουρεῖν τῆς ὁ ἁμαρτωλὸς καὶ πονηρὸς αὐτὸν ἔδειξε τὸν
διάβολον· οὗ ὁ βραχίων ὑπὸ κυρίου συντρίβεται· καὶ ἡ ἁμαρτία αὐτοῦ ζητουμένη οὐχ εὑρίσκεται· ἔχουσα ἐν τῷ ἐπιτελεῖσθαι
τόλμαν καὶ παυομένη· τὸ γὰρ κακὸν ποιότης ἐστὶν οὐκ οὐσία· καὶ οὕτως ἐν ἀφανεῖ τὸ ἐπὶ πᾶσι τέλος· οὐχ ἅμα πάντα
γενόμενα αὐτὸς δὲ οὐδὲ μὲν οὗ ἐστιν ἐν μέρει καὶ: **ΘΕΟΔΩΡΟΥ**

διὰ τὴν καὶ τοῦτο δεῖ ἀφέρεσθαι ὁ σύμμαχος εἴρηκεν ἐκζητηθήσεται ἀσέβεια αὐτοῦ ἵνα μὴ εὑρεθῇ αὐτὸς ἐκεῖνος γὰρ ζη-
τουμένης καὶ δεικνυμένης οὗτος ἀπόλλυται: **ΑΘΑΝΑΣΙΟΥ**

διὰ τὴν μὲν τὴν ἁμαρτίαν· τὸ δὲ ὅλον οὕτως ἐμφαίνει ἐκζητήσεις τὴν ἁμαρτίαν τοῦ πονηροῦ οὐ μὴ εὑρεθῇ τουτέστιν ἀ-
πολεῖται ὁ πονηρὸς διὰ τὴν: **ΚΥΡΙΛΛΟΥ**

ἀγαθὸς ἐν εὐμαθεῖ φησὶν ἢ τοῦ ταῦτα ἀνδρώπους ἁμαρτίαν οὐ καν εὑρεθείη διὰ τὴν τουτέστι δικαίως ἀφανισθήσεται:
ΘΕΟ ΑΝ τὸ σῶμα γὰρ φησὶν ἐστὶν ἡ κατὰ τῶν πενήτων ἀδικία ὅτι ἐὰν ζητήσῃς καὶ ἐξετάσῃς γίγνεται τῆς ἁμαρτίας αὐτοῦ οὐδὲ ὑπὸ
ἀναιδῶς ἔσται διὰ τὴν τὴν ἁμαρτίαν αὐτοῦ ζητουμένην τουτέστιν τῆς ἁμαρτίας αὐτοῦ διὰ τὸ μεγάλην εἶναι οὐδὲ τὴν
ἐξέτασιν ὑπενεγκεῖν δύναται: **ΘΕΟΔΩΡΟΥ**

ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ
καὶ οὐ μὴ εὑρεθῇ:
Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα καὶ εἰς
τὸν αἰῶνα τοῦ αἰῶνος· ἀπολεῖ-
σθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ:
Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰ-
σήκουσας κύριε· τὴν ἑτοιμασίαν τῆς
καρδίας αὐτῶν προσέσχεν τὸ
οὖς σου:
Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ
ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυ-
χεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς:

ἐπειδὴ γὰρ οἱ δυσσεβεῖς ἔλεγον οὐ ζητεῖ οὐδὲ ἀλλ' ἐπειδὴ εἰκότως ὁ προφη-
τικὸς λόγος διδάσκει ὅτι βασιλεύσει καὶ οὐχ ἁπλῶς βασιλεύσει
ἀλλ' εἰς τὸν αἰῶνα τοῦ αἰῶνος ἵνα μὴ δὲ βασιλέως προνοηθήσεσθαι καὶ τῶν
ἀρχομένων: **ΔΙΔΥΜΟΥ**

ἐπεὶ γὰρ οὐχ οἷόν τε τὸν αὐτὸν ὑπὸ δύο κυρίους καὶ βασιλέας εἶναι ὅτε
κυριεύει καὶ βασιλεύει ἡ ἁμαρτία τοῦ αὐτὴν ποιοῦντος ὁ θεὸς οὐ κύ-
ριος οὐ βασιλεὺς τοῦ ἁμαρτάνοντος ἦν ἐπειδὴ δὲ καὶ ἡττηθεῖσα ἡ
ἁμαρτία ἡ βασιλεύουσα τοῦ ἐνεργοῦντος αὐτὴν οὐχ εὑρεθῇ κύριος βασι-
λεύει εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος:
ἐν τῷ μέλλοντι καὶ ἐν τῷ αἰῶνι: **ΗΣΥΧΙΟΥ**

ἵνα τὴν μὲν αὐτοῦ βασιλείαν δηλώσῃ καὶ τὴν μέλλουσαν εἶδε δὲ ἡ τοῦ κυρίου
βασιλεία ἀτελεύτητος ὡς τῆς βασιλείας αὐτοῦ μὴ εἶναι τέλος· πάν-
τας οἱ ταύτης κοινωνοὶ εἰσὶ μὲν δὲ οἱ δίκαιοι δηλονότι ἢ τὴν ἀπόλαυσιν
τῆς βασιλείας κέκτηνται:

ὡς τῆς βασιλείας αὐτοῦ μὴ εἶναι τέλος· οἱ γὰρ οἷόν τε δύο βασιλέας
εἶναι· ὅτε μὲν οὖν ἐβασίλευε τοῦ ποιοῦντος ἡ ἁμαρτία οὐκ ἦν τοῦ
τοῦ βασιλεὺς ὁ θεός· ὅτε δὲ ζητηθεῖσα μὴ εὑρεθῇ διὰ παντὸς ὁ κύριος
βασιλεύσει:

τὰ παράνομα συζῶντα τὰ τὸ σωτήριον μὴ δεξάμενα κήρυγμα: **ΕΥΣΕ Β**
γῆ θεοῦ· καρδία ἀγαθὴ δεξιῶς ἐκκαθαίρεται ἔθνη πάντως ἐκκαλούμενα
πονηροῦ λογισμοῦ καταστείλαι ἐνεργείαν· ἅμα καὶ ἐκ τῆς γῆς
τῶν πραέων ἀπόλλυνται ἔθνη· κυρίου γὰρ καὶ αὐτή· ἀλλ' οὖν γὰρ τὸ λέγειν
πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων· καὶ πρὸ τοιούτων ἐφη
θεοῦ· ἀμαυρώσει ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς: **ΘΕΟΔΩΡΟΥ**

τὴν δὲ ἑτοιμασίαν τὴν πρόθεσιν ὁ σύμμαχος εἴρηκεν ὅθεν ἀσφαλῶς φησὶν
ἐπιθυμίαν ἐνταῦθα ἀντὶ τοῦ τὴν προσευχὴν λέγει ἐπειδὴ ἀπὸ πρόθεσιν ἔχουσιν εἰς ταύτην διδάσκει σαφέστερον: **ΘΕΟ ΑΝ**
ἀκριβῶς τίνος ἐπιθυμοῦσιν οἱ πένητες καὶ ποίαν πρόθεσιν ἔχουσιν εἰς ταύτην διδάσκει σαφέστερον:
ἐπεθύμουν γὰρ συντριβῆναι τοῦ ἁμαρτωλοῦ τὸν βραχίονα· καὶ ταῦτα ἐπιθυμοῦμεν γίγνεσθαι ταῦτα καὶ εὔχεσθαι φιλοῦμεν:
ἐπιθυμία δὲ διανοίας ἀγαθῆς ἐνεργής ἐστι προσευχὴ ἣν ἰδὼν ὁ καρδιογνώστης ἐπλήρωσεν· ἑτοίμην γὰρ εἶχον πρὸς τὸ
ΘΕΟ πεισθῆναι καρδίαν καὶ τῆς ἐπηγγελμένης βασιλείας τυχεῖν:
τοῦτό φησιν εἰρῆσθαι τῶν ἀδικουμένων ἕκαστον:
ταῦτα γενέσθαι μὲν καὶ αἰσθητῶς ὁ μόνος δίκαιος καὶ οἱ μὴ ἔχοντες ἁμαρτίαν προσεύχονται ὡς τὸ δίκαιος ὢν ἐν τῷ βίῳ
λιτεύεσθαι μόνως δὲ μᾶλλον ὀρφανὸν γὰρ καὶ ταπεινὸν τὸν καθόλου προσηγόρευσεν ἄνθρωπον ὀρφανὸν μὲν ὅτι ἔσται τοῦ θεοῦ
ἐκ τῆς ἀνθρώπου ἐκ παροικίας γενόμενον· ταπεινὸν δὲ ὁμοίως διὰ τῆς ἀποφάσεως ἧς αὐτὸν εἰς γῆν ὑποστρέφειν
ἐκέλευσεν ὡς καὶ τὸν προφήτην τοῦτον εἰπεῖν τὴν φύσιν τὴν ἡμετέραν δακρύσαντα: **ΘΕΟΔΩΡΟΥ**
τῷ γὰρ ἀσεβείᾳ καὶ παρανομίᾳ χρωμένῳ κολαζομένῳ ὄφελος ἐστὶ μάρτυρα τῶν ἄλλων ἀνθρώπων εἰς τοὺς ἀφορῶντας καὶ δρᾶν
τὰ ὅμοια μὴ τολμῶντας· ταῦτα δὲ οὐχ ἁπλῶς ὁ προφήτης τοῦ προκειμένου σὺν ὅτε ψαλμοῦ ἀλλὰ πρὸ τὸν μὲν δείξαι μου
λομένου ὅπως διέκειτο πάλαι τῶν ἀνθρώπων ἡ φύσις· καὶ ὅτι μονογενὴς τοῦ θεοῦ λόγος εἰς καιρὸν ἐνανθρωπήσας κατάλληλα
τοῖς τραύμασιν ἐπέθηκε φάρμακα· προσδέχονται διδάσκει ὡς τὰς ὁμοίως οὐδὲ μίαν ἐκ τῆς ἐνεργείας δέξασθαι βουλη-
θέντας μείζοσι παραδώσει κολαστηρίοις ὁ τῶν ὅλων θεὸς ἐν τῇ τῆς δευτέρας ἐπιφανείας ἡμέρᾳ: **ΕΥΣΕΒΙΟΥ**
ΔΙ ἐπὶ γὰρ τὴν ἐκδίκησιν τῶν ἀπορριπτῶν καὶ ταπεινῶν κατὰ τὸν ἐνεστῶτα βίον ποιήσεσθαι κύριος· οὐδεὶς ἔτι μεγαλαυχήσει ἐπὶ τῆς γῆς:
ΘΕΟ ἀλλ' οὐδὲ ὁ διάβολος ἔτι μεγαλαυχήσει συντριβόμενος ὑπὸ τοὺς πόδας τῶν ἁγίων· πατούντων αὐτοῦ τὴν δύναμιν κατὰ τὴν δωρεὰν θεοῦ:
ΡΗ σωτῆρι θεῷ εἰς τὰ τοῦ προκειμένου ψαλμοῦ· πρὸ τὸν μὲν διδάσκων ὅπως ἦν ἄνθρωπεία φύσις πάλαι διέκειτο· διὸ κατὰ καιρὸν
ἐνανθρωπήσας ὁ μονογενὴς κατάλληλα τοῖς τραύμασιν ἐπέθηκε
φάρμακα· ἐπεὶ τὰ δὲ ὡς τὴν ὁμοίως τοῦ σμη-
θελήσαντας δέξασθαι μείζοσι
παραδώσει κολαστηρί-
οις ἐπιφανείας
τῆς δευτέρας:

ΘΕΟΔΩΡΟΥ

Τοῦτον τὸν ψαλμὸν ὑπὸ τοῦ Σαοὺλ διωκόμενος ὁ θειότατος Δαυὶδ εἴρηκεν πρὸς τοὺς παραινοῦντας αὐτῷ φυγῇ τὴν σωτηρίαν πορίζεσθαι· ἁρμόττει δὲ καὶ παντὶ ἀδικουμένῳ καὶ τὴν εἰς θεὸν ἐλπίδα κεκτημένῳ. εἰς τὸ τέλος δὲ ἐπιγέγραπται, ἐπειδὴ πρόρρησιν περιέχει τῆς δικαίας τοῦ θεοῦ κρίσεως καὶ τῆς ἐπενεχθησομένης τοῖς παρανόμοις κολάσεως:

Ὅτε ὑπὸ τοῦ Σαοὺλ ἐδιώκετο, τινὲς τῶν συνόντων οἰκείως ἔχοντες, τοσοῦτον καὶ τηλικοῦτον φόβον καὶ κίνδυνον συνεβούλευον αὐτῷ φεύγειν τε καὶ μεθίστασθαι τούτου τοῦ ὄρους ἐφ᾽ ᾧ ἔκειτο, καὶ ἀπελθεῖν μὲν πάλιν εἰς ἕτερον ὄρος, ὅπως ἂν μὴ καταληφθεὶς ὑπὸ τοῦ Σαοὺλ ἀναιρεθῇ· τότε γοῦν τοῦτον φησὶ τὸν ψαλμόν:

ΕΥΣΕΒΙΟΥ

Ἐπειδὴ καὶ τῷ Δαυὶδ εἰς τὸ τέλος γέγραπται, καὶ κατὰ τὸν Ἀκύλαν τῷ νικοποιῷ, κατὰ δὲ τὸν Σύμμαχον, ἐπινίκιος τοῦ Δαυίδ, φησὶν ὅτι καὶ ὁ Δαυὶδ μετὰ τὴν συμβᾶσαν αὐτῷ συμφορὰν εἴρηκε τὰ προκείμενα:

ΘΕΟΔΩΡΗΤΟΥ

Ἁρμόζει μὲν ὡς ἡγοῦμαι καὶ τῷ μακαρίῳ Δαυὶδ εἰς τὸν Σαοὺλ προσιοῦσι· παραινοῦντας αὐτῷ φυγεῖν ταῦτα φησίν· ἁρμόττει δὲ παντὶ ἀδικουμένῳ καὶ τῷ ἐπὶ θεῷ πεποιθότι. τὸ δὲ εἰς τὸ τέλος προμηνύει τὴν δικαίαν τοῦ θεοῦ κρίσιν, καὶ τῶν παρανομούντων τὴν μέλλουσαν τιμωρίαν. τί δή ποτε, φησί, παραινεῖτέ μοι φεύγειν καὶ τὰ ὄρη περινοστεῖν, στρουθίου δίκην ἐπτοημένου, καὶ τὰς σκηνὰς τὰς ἐκεῖσε μεταναστεύειν, ἔχοντι τὴν εἰς θεὸν ἐλπίδα καὶ δεικνύντι τοὺς δυσμενεῖς μηδὲν δυναμένους:

ΚΥΡΙΛΛΟΥ

Τοὺς ἐπὶ τῷ κυρίῳ πεποιθότας ὡς στρουθίον ἀνίπτασθαι δεῖ ἐπὶ τὰ ὄρη· ὄρη δὲ εἶναί φαμεν τὰς ἀρετὰς οὐδὲν ἔχουσας τὸ χαμαιριφές· τελείου φρονεῖν καὶ κατὰ τὸν ἀπόστολον ἐπιζητεῖν τὰ ἄνω, ἢ τῆς ἡμῶν χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ. οὐ κατὰ τὸν ἀπόστολον τὴν ψυχὴν μεταναστεύοντας τόπον ἐκ τόπου, καὶ περιφεύγοντας τοὺς διώκοντας· καθ᾽ ἃ δὴ στρουθίον τοὺς θηρεύοντας ὡς καὶ διαφεύγοι.

ΔΙΔΥΜΟΥ

Λέγοιμεν· ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων: ἀναχωρεῖν δὲ καὶ οὕτως ἐπὶ τῷ κυρίῳ πεποιθὼς ἐρεῖ τῇ ψυχῇ μου· ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον καὶ τὰ ἑξῆς. εἰ φοβοῖς ἀναγκασθείη δίκαιος οὕτως ἐπὶ τῷ κυρίῳ πεποιθὼς ἐρεῖ τῇ ψυχῇ μου· ἵνα ἀποδράσας ἐπὶ τὰ ὕψος ἔχοντα ὄρη τὰ ὑψηλὰ παρορμᾷ τὴν ψυχὴν ἑαυτοῦ μεταναστεύειν δίκην στρουθίου μετεώροις ἀρεταῖς ἐνδιαιτωμένους:

ι´ ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΨΑΛΜΟΣ Τῼ ΔΑΔ

Ἐπὶ τῷ κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου· μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον:

Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν:

Τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ:

Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον:

ΘΕΟΔΩΡΟΥ

Τινὲς καὶ ταῦτα συνῆψαν τοῖς εἰρημένοις στίχοις· ἅμα τῷ ἐπιφερομένῳ οὐκ ἐξετάζοντες:

ὨΡΙΓΕΝΟΥΣ

Μὴ ἀρκούμενοι τῇ ἑαυτῶν ἀπωλείᾳ οἱ ἁμαρτωλοί, ἀλλ᾽ ἐπιτιθέμενοι τῷ δικαίῳ ὡς πολεμοῦντες ἁγίοις· κατατοξεύειν αὐτοὺς πειρῶνται τοῖς βέλεσιν αὐτῶν καὶ κακίας ἰοῖς· καὶ τῶν ἁγίων τὴν τοσαύτην τοῦ ἡγεμονικοῦ καθαρότητα σκοτομήνην προσαγορεύονται· κατὰ ταῦτα ὡς ἀφανίζειν τὸ μέλαν· καὶ ταῦτα δρῶσι τὰς φυσικὰς καὶ καταφύσιν ὀρθὰς καθελόντες ἐννοίας, ὅσας ὁ θεὸς κατηρτίσατο:

ΘΕΟΔΩΡΗΤΟΥ

Ἔοικε δὲ ταῦτα μὴ ἀπολελύσθαι τοῖς πρώτοις στίχοις ἐν ᾧ προφῆται πρότερον θεῷ εἰρῆσθαι. ὡς ἄλλοι τὸ ἃ σὺ κατηρτίσω. ὡς ἐν ἀσελήνῳ ὥρᾳ νυκτί· τοῦτο γὰρ ἡ σκοτομήνη δηλοῖ· κρύπτουσιν αὐτοὺς ἐνεδρεύοντας τῆς ἐπιβουλῆς τὸ λαθραῖον ἐμφαίνων· εὐθεῖς δὲ τῇ καρδίᾳ ὠνόμασεν οὐκ ἀρετὴν ἑαυτῷ μαρτυρῶν· ἀλλ᾽ ὅτι πρὸς οὐδὲν εἰργάσατο τοῦ Σαοὺλ· ὅτι οὐκ αὐτῷ καὶ εὐνοοῦν διετέλεσεν· καὶ ἀφελεῖν δὲ μου τὴν βασιλείαν πειρῶνται, ἣν οὐκ ἁρπάσας ἔσχον, ἀλλὰ λαβὼν παρὰ σοῦ:

ΔΙΔΥΜΟΥ

Λέγοις δ᾽ ἂν καὶ ὡς πολλοὶ σοφιστικῶς παρεσκευασμένοι λέγονται βέλη, ὁρατοὶ καὶ ἀόρατοι· τὸ μὲν ἡγεμονικὸν δεξιότητα ἔχουσι τεταμένον· πεπτωκότας δὲ λόγους ἔχουσι βέλη προσφέροντα κατατοξεῦσαι σε ὦ ψυχή· ἀλλ᾽ ἔχεις ὁ δίκαιος ἰσχυρὰν ἐν ὑψηλοῖς ὄρεσιν ἐνταῦθα προσφυγὴν γενομένην ὀχυρὰν· ὄρη δὲ ταῦτα τὰ τῶν γραφῶν νοήματα, προφῆταί τε καὶ ἀπόστολοι· δύναται δὲ καὶ ὡς ἀπὸ τοῦ ὡς εἰρῆσθαι προτρεπομένου φυγεῖν τὸν διαδραναι βουλόμενον· λέγοιτο δὲ καὶ χλευαστικῶς ὑπὸ τῶν ἀοράτων ἐχθρῶν εἰς διαλογισμοὺς τοὺς ἐν ὅλῃ καρδίᾳ πεποιθότας ἐπὶ θεῷ· σκοτομήνη δὲ ὄντως οἱ τοιοῦτοι καὶ νύκτες οἱ καθ᾽ ἣν καὶ τοξεύουσιν:

ΙΣΤΕΡΙΟΥ

Καὶ ἄλλως δὲ διασύρει τοὺς πολεμοῦντας τοῖς ἁγίοις ὡς μὴ ὑλεύοντας τινὰς τοξεύουσι· τοιγαροῦν σχῆμα μόνον ἔχουσι πολεμούντων· ἐν τίνι γὰρ οὐκ ἐτόξευσαν· καὶ ἐπιμάσαντες οὕτως ἐσομφάσι τὴν ἐπιβουλήν· ἀπεῖργον τὸ τοῦ θεοῦ· πολεμοῦσι δὲ τοῖς δικαίοις τὰ ἑαυτῶν ὅπλα ἀνῃρηκότες καταταρβήσαντες· αὐτὸς γὰρ καταρτίζει τὰ ὅπλα τοῦ προφήτου λεχθέν:

ΘΕΟΔΩΡΟΥ

Κατὰ τὸ θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι παρὰ τοῦ προφήτου λεχθέν· οὐχ ἥρπασα φησὶν τὴν βασιλείαν, ἀλλὰ τὴν χειροτονίαν παρὰ τῆς σῆς χάριτος ἐδεξάμην· ἐκεῖνοι δὲ ἐμὲ καταλῦσαι πειρῶνται κατὰ τῆς σῆς ὁρίζομενοι ψήφου:

ΘΕΟΔΩΡΟΥ

Ἐντεῦθεν δὲ καὶ διδασκόμεθα ὡς πρότερον θεῷ εἰρηκέναι τοὺς λόγους ὁ προφήτης ἐντεῦξει χρώμενος καὶ διδασκαλίαν ὡς ἐν παρεμβολῇ τῶν πολεμίων καὶ τὰ τόξα καὶ τὰ βέλη καὶ σκοπὸς αὐτῶν οἱ ἐν σκοτομήνῃ τινὶ καὶ ἀσελήνῳ νυκτὶ τοῖς λόγοις καὶ ταῖς ἐνέδραις χρήσασθαι καθ᾽ ἡμῶν· τὸ γὰρ τῆς ἐπιβουλῆς λαθραῖον καὶ κεκρυμμένον σκοτομήνην ἐκάλεσεν· τοῦτο δὲ τὸ ὄνομα τὴν ἀσέληνον νύκτα δηλοῖ· εὐθεῖς δὲ τῇ καρδίᾳ ὠνόμασεν, οὐ τὴν ἄκραν ἀρετὴν ἑαυτῷ μαρτυρῶν, ἀλλ᾽ ἐπειδὴ ὅτι πρὸς Σαοὺλ οὐδὲν εἰργάσατο πώποτε ἀλλ᾽ εὐνοίᾳ πολλῇ τῇ πρὸς αὐτὸν χρησάμενος διετέλεσεν:

ΚΥΡΙΛΛΟΥ

Μάχονται τῷ θείῳ σκοπῷ καὶ ἀποβαλοῦσιν αὐτὸς ὅτε τῶν ὅλων δεσπότης κατηρτίσατο πρὸς γένεσιν ἔχειν καθελοῦσιν αὐτοί· πλάττει γὰρ κόσμον ἐπὶ προστάγματι ὁ τῆς ἀνομίας θρόνος τουτέστιν ὁ σατανᾶς:

ΗΣΥΧΙΟΥ

Κατηρτίσθαι φησὶν ὁ ἐχθρὸς τὸν ἄνθρωπον εἰς φθορὰν καὶ τοῖς ἐπὶ ἀφθαρσίᾳ κατηρτισμένον: καθεῖλον δὲ οἱ μόνοι τοῖς ἐχθροῖς διὰ τὸν νόμον καὶ τὰς ἐντολὰς ἐνδελεχῶς· ταῦτα γὰρ εἰς σωτηρίαν ὁ θεὸς τὴν ἡμετέραν κατηρτίσεν· καθεῖλον δὲ οἱ μόνοι τοῖς ἐχθροῖς ἀντὶ τῆς ἡμετέρας παρανομίας διὰ τοῦτο σύμμαχος ὅτι οἱ θεσμοὶ καταλύθησαν γέγραφεν:

θεοδώρου

ἐκεῖνοι μὲν τῇ κατ' ἐμοῦ κέχρηνται πονηρίᾳ· οὐ δὲ ὁ δίκαιος κριτὴς ὁ καθήμενος τοῖς οὐρανίοις θώκοις καὶ τὴν οἰκείαν ἐπι-
φάνειαν ἐν τῷ ναῷ τῷ ἐπὶ γῆς ποιούμενος ἐποπτεύει μὲν τὴν οἰκουμένην ἅπασαν, ἀρκεῖ δέ σου μόνα τὰ βλέφαρα τῶν ὀνο-
μάτων τὰ ἀνθρώπινα ἀμόνα καταμαθεῖν δοκεῖσθαι δὲ ἀκριβῶς καὶ ἄδικον καὶ δίκαιον τὰς πράξεις καὶ τὰ λανθάνοντα τοῖς ἔρ-
γοις τὰς ἀντιδόσεις ἐπάγειν· ὅτι καὶ ὀφθαλμοὺς καὶ βλέφαρα καὶ θρόνους καὶ τὰ ἄλλα ὅσα τοιαῦτα σωματικῶς ἐπαλλη-
ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων τοὺς ἀκούοντας διδάσκων καὶ ταῖς θείαις ἐνεργείαις τῶν ἀνθρωπίνων μορίων τὰς προση-
ΔΙ ὁ κύριος δίκαιος ὢν τί ποιήσει; ἢ ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς τὰς παγίδας αὐτοῦ καὶ μερίσει αὐτοῖς ποτήριον κολά-
σεως· ἐπὶ τὸ τοιοῦτον αὐτοὺς ἀσθενῆσαι ἀπὸ τῆς προτέρας ἐξενεγκόντος ὁρμῆς : θεο ἀντιο [illegible]

ἐρωτηματικῶς τί οὖν φησιν προτάττεται ὁ δίκαιος· τουτέστιν ὁ δικαίως ἑαυτὸν ἀπὸ τοῦ πράγματος καλῶν σωτῆρος : ἐκ
ὁ μόνος δίκαιος καὶ κριτὴς θεὸς τοὺς ἑαυτοῦ πολεμουμένους ὁρῶν τί ἐποίησεν; ἐν οὐρανῷ κατοικῶν καὶ βασιλείαν ἔχων ἀσά-
λευτον· οὐδὲν τῶν ἐπὶ γῆς παρορᾷ, χαρίζεται δὲ τῷ πένητι τῷ ἐν ἐργασίᾳ τῇ ἐκ τοῦ αὐτοῦ δυνάμεων τὴν ἐπισκοπὴν ὥς φησιν
ὀφθαλμούς· ὥσπερ οὖν βλέφαρα τὴν κριτικὴν αὐτοῦ καὶ πάντα διακρίνουσαν πρόνοιαν· διὰ δικαιοσύνην δὲ κρινεῖ καὶ
τοὺς δικαίους· μήτι καὶ αὐτοῖς πεπλημμέληνται : ὠριγένους

ἢ καὶ οὕτως οἰκεῖ θεὸς ἐν ἁγίοις καὶ ὁ ὑπεράνω οὐρανῶν ὡς βασιλεὺς καὶ θεϊκῶς· αἱ δὲ ἐποπτικαὶ αὐτοῦ δυνάμεις φρουροῦσι τὸν
πένητα· ὡς ἀγαθὸς δὲ βλεφάροις ἐξετάζει τὰ καθ' ἡμᾶς· ἀλλ' οὐκ ὀφθαλμοῖς ὥσπερ μὴ παρατηρούμενος αὐτῶν πάντα τὰ
ἁμαρτήματα· τοῦτο γὰρ αὐτοῖς ἀφόρητον· ὀφθαλμοῖς δὲ ἐπιβλέπει τὸν πένητα· διὰ τὴν εὐεργεσίαν ποιούμενος· καμμύσ-
ὁ πένης ὑπάρχει τῶν ἀνθρώπων τὰς κολάσεις συνεστέλλοντα· ἀλλὰ καὶ πολὺ τὸ κεκρυμμένον ἔχουσιν ἐν τῇ τοῦ ἐξετάσει παρρησίαν

ὁ δὲ δίκαιος τί ἐποίησεν :
Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ κύριος ἐν οὐρανῷ
ὁ θρόνος αὐτοῦ :
Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα
ἀποβλέπουσι τὰ βλέφαρα αὐτοῦ
ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων :
Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀ-
σεβῆ ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν
μισεῖ τὴν ἑαυτοῦ ψυχήν :
Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας
πῦρ καὶ θεῖον καὶ πνεῦμα καται-
γίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτοῦ :
Ὅτι δίκαιος κύριος καὶ δικαιοσύνας ἠ-
γάπησεν εὐθύτητας εἶδεν τὸ
πρόσωπον αὐτοῦ :~

τῶν ἀγαθῶν γινομένων πολλὴν τοῦ νήματι αὐτοῦ φανερωθῆναι πα-
τὰς δὲ ἵνα κομίσωνται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀ-
γαθὸν εἴτε κακόν· διὸ πᾶς ἁμαρτάνων ὥσπερ τις μισῶν ἑαυτοῦ λέγει
τῇ ἰδίᾳ ψυχῇ ὥσπερ οὖν ὁ πράττων τὸ δίκαιον αὐτὴν ἀγαπᾷ· ἑαυτόν
τε καὶ τὸν πλησίον εὐεργετῶν· τῷ εἰς ἀρετὴν αὐτὸν ἄγειν ὡς ἑαυτόν·
ἀσεβὴς δὲ ὑμῶν λέγει τὸν διὰ τὸ ἁμαρτάνειν καταφρονοῦντα θεοῦ ὃς καὶ
κρίνεται μετὰ τοῦ δικαίου· ὥσπερ ἀχθ' ἐν τῇ δῆλον καὶ εἰς τοὺς ἐν γέ-
νεσι· καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής· ὁ γὰρ πάντη ἄθεος οὐκ ἀνα-
στήσεται ἐν κρίσει : θεοδώρου

ὁ τὴν ψυχὴν ἀγαπῶν τὴν ἀδικίαν μισεῖ· ὁ δὲ περὶ ἐκείνην ἐνδιακεί-
μενος ὄλεθρον τῇ ψυχῇ μηχανᾶται ἐπὶ πάντα γὰρ τὴν διαφοράν
περιῆς ὁ προφητικὸς διέξεισι λόγος ὅτι : ἡσυχίου

ἐπὶ διὰ χρημάτων ἢ κτημάτων ἢ τῆς ἄλλης πλεονεξίας ἐν ἐκείνῳ
αἰωνίαν κόλασιν· τὸ τίμιον κτῆμα τὴν ψυχὴν παραδίδωσιν περί
ὧν ὁ κύριος ἔλεγεν· τί ὄφελος ἄνθρωπος ἐὰν ὅλον τὸν κόσμον κερδήσῃ τὴν
δὲ ψυχὴν αὐτοῦ ἀπολέσῃ : θεοδώρου

ἀπὸ τῶν ἤδη περὶ τὰ Σόδομα γινομένων σχηματίζει τὰς τιμωρίας·
καὶ γὰρ εἰς ἐκείνας τὰς πόλεις ἐπέβρεξεν κύριος παρὰ κυρίου πῦρ καὶ θεῖον
ἐκ τοῦ οὐρανοῦ· ταῦτα τοίνυν καὶ νῦν ἀπειλήσαν οὐχ ὡς ταῦτα πάντως
ΔΙ ἐπάξων ἀλλὰ διὰ τούτων τὰς παντοδαπὰς κολάσεις παραδηλῶν :
τουτέστι κολάσεις ἂν ἐντὸς οἱ ἁμαρτωλοὶ συλλαμβάνονται· εἰ μὴ ἄρα
δηλοῖ τὸ παραδίδοσθαι αὐτοὺς ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν·
πάθεσί τε ἀτιμίας καὶ νοῒ ἀδοκίμῳ ὅθεν οὐ βρέξει φησὶν ἀλλ' ἐπι-
βρέξει· δηλαδὴ τοῖς ἤδη παγιδευθεῖσιν ἐξ ἑαυτῶν ὅμοιος λέγων τῷ
τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει κύριος μετὰ τῶν ἐργα-
ζομένων τὴν ἀνομίαν· πρὸς ἑκατέρων δὲ ἀπόδοσιν ἁρμόσει καὶ
τὸ ἐν παροιμίαις· πρὸς τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ἀποστέλλει
ὁ θεός· ἡ γὰρ κόλασις ἡ παράδοσις σημαίνουσιν : ἡσυχίου

τουτέστι σκάνδαλα καὶ προσκόμματα ἐπ' αὐτοὺς ἀποστέλλει ἵνα
πεσόντες μὲν ἐμποδισθῶσιν μὲν τοῦ τὴν ἁμαρτίαν τὴν προκειμέ-
νην ἐργάσασθαι ζητήσουσι δὲ τὸν ἁμαρτῆσαι δυνάμενον :

εὐσεβίου

τὰς ἐπὶ πόνους κολάσεις πολλαχῇ δηλοῖ τὸ ποτήριον ὡς ἐν ἡσαΐᾳ· ἐξεγείρου ἐξεγείρου ἰλημ· ἡ πιοῦσα τὸ ποτήριον ἐκ χειρὸς
κυρίου τὸ κόνδυ τοῦ θυμοῦ· λέγει δὲ καὶ τῷ ἱερεμίᾳ θεὸς λαβὲ τὸ ποτήριον τοῦ οἴνου τοῦ ἀκράτου ἐκ χειρός μου καὶ πο-
τιεῖς αὐτὸ πάντα τὰ ἔθνη πρὸς οὓς ἐγὼ ἀποστέλλω σε· ὁποῖον τὸ προκείμενον ποτήριον οὗ τὸ πλήρωμα πῦρ καὶ θεῖον
καὶ πνεῦμα καταιγίδος· οὐ δηλοῦν μὲν ὅλας τὰς κατὰ Σόδομα ἐπενεχθέντα· δηλοῖ δὲ τὸ πῦρ τὴν διακαιομένως ἀπειλήν·
τὸ δὲ θεῖον· τὴν δυσώδη φθείρουσαν· εἰ μᾶλλον τὸ πῦρ αἰτίαν· τὸ δὲ πνεῦμα τῆς καταιγίδος πειρασμοὺς συντροφίων· εἴρηται
γὰρ ἐν ἡσαΐᾳ ὡς καταιγὶς δι' ἐρήμου διελθοῦσα ἐρχομένη ἐκ γῆς φοβερὸν τὸ ὅραμα καὶ σκληρὸν ἀνηγγέλη μοι· εἶτα δὲ ἐκ
τοῖς ἐν ἔθνεσι ποτήριον τὸ μεθύσκον ὡς κράτιστον· περὶ οὗ τάχα καὶ κείμενον λέλεκται κύριος ἡ μερὶς τῆς κληρονομίας μου
καὶ τοῦ ποτηρίου μου· καὶ διὰ ἔργων ἀγαθῶν τὸ μὲν φυγεῖν τὸ δὲ αἱρήσασθαι : θεοδώρου

ταῦτά φησιν ἑαυτοῖς ἀπεκλήρωσαν τὴν παρανομίαν ἑλόμενοι· ποτήριον δὲ ἐνταῦθα τὴν τιμωρίαν ὀνομάζει· οὕτω δὲ
καὶ ἐν τῷ ἑβδομηκοστῷ ψαλμῷ ὅτι ποτήριον ἐν χειρὶ κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος· καὶ μετ' ὀλίγον· πίονται πάντες οἱ
ἁμαρτωλοὶ τῆς γῆς· τοῦτο τὸ ποτήριον ὁ μακάριος ἱερεμίας τοῖς ἔθνεσι προσενεγκεῖν ἐκελεύσθη : θεοδώρου

ταῦτά φησιν ἐπιφέρει τοῖς κακίᾳ συζῶσι ὁ τῶν ὅλων κύριος ἐπειδὴ καὶ δικαιοσύνης ὑπάρχει πηγὴ καὶ οἷόν τινι πηδαλίῳ εὐθύτητι
χρώμενος ἰθύνει τὰ σύμπαντα : εὐσεβίου

ὡς γὰρ δίκαιος ἐπιβλέπει μὲν τοὺς πένητας παρ' ἕνεκα δὲ τοὺς ἁμαρτωλούς οὐσίᾳ δὲ δίκαιος ἥτις οὐ μετοχῇ πάλιν καὶ
οὕτως ἔχων ἀγαπᾷ τὰς ἐν τοῖς πολλοῖς δικαίοις δικαιοσύνας· τὴν ἑκάστου πρόθεσιν ἀποδεχόμενος ἅμα καὶ ἑκάσ-
του κρίματος ἥτις τὶς δικαιοσύνη· πολλὰ δὲ τὰ κρίματα τοῦ θεοῦ περὶ ὧν γέγραπται τὰ κρίματα κυρίου ἀληθινὰ δεδικαι-
ωμένα ἐπὶ τὸ αὐτό· πολλαὶ ἄρα καὶ αἱ δικαιοσύναι· ἐπειδὴ δὲ καὶ εὐθύτητα τὴν πρὸς τὸν ὀρθὸν λόγον γινομένην· χαίρει
γὰρ ἐπὶ τοῖς ἔχουσι· καὶ τοὺς μὴ διαζομένους ὁρᾷ μὴν ὡς τελέως πολλαὶ δικαιοσύναι ἐπὶ τοῖς κρίμασιν οὕτως εὐθύτητες·
μάλιστα ἀποδέχεσθαι τὴν εὐθύτητα τὸ πρόσωπον αὐτοῦ ὁρᾷ· ἐπιφαίνεται γὰρ παρ' ὧν ὁ θεὸς τοῖς ἔργοις τῆς προνοίας
καὶ τοῖς ἀποτελέσμασι τῶν κριμάτων :

ΕΥΣΕΒΙΟΥ

ἡ αὐτὴ ἐπὶ τῆς ϛ΄ ἐπιγραφή· ἐλέγομεν δὲ ὡς καὶ τὸν νόμον λύει μὲν ὁ σάββατος … ἐν σχήματι ἡμέρας ὀγδόης τῆς
περιτομῆς ἐν αὐτῇ γινομένης τὴν ὁμοίαν ἔχειν ἐλέγομεν δύναμιν· καὶ τὴν κυριακὴν ἀναστάσιμον οὖσαν τοῦ κυ·
καὶ τυγχάνουσαν ἀπὸ τῆς πρώτης ὀγδόην· πρὸς τὴν δὲ κατάλυσιν ὑπάρχουσαν· καθαρτικὴ γάρ ἐστι πάσης ψυχῆς:

ΘΕΟ τῆς αὐτῆς ἔχεται καὶ οὗτος ὁ ψαλμὸς διανοίας· διαμέμφεται γὰρ τοὺς δι' ἀπάτης κεχρημένους καὶ φιλίαν μὲν ὑπισχνουμένους πρὸς … ἐμένους δὲ αὐτὸν τῷ πολεμίῳ Σαοὺλ καὶ μηνύοντας … ὑπὲρ δὲ τῆς ὀγδόης τὴν ἐπιγραφὴν ἔχει … καίας τοῦ … μεμνημένος ἣν μετὰ τὴν ἑβδόμην ποιήσεται καθ' ἃ προέφη … ὁ δίκαιος κριτὴς διὰ τοῦτο εἰς τὸ τέλος προγέγραπται ὡς χρόνον ὕστερον τῆς προρρήσεως ἐσομένης :

ΚΥΡΙΛΛΟΥ

ἡ τῆς ὀγδόης δύναμις ἐντεῦξιν ἔχει κατὰ πάντων τῶν μεγάλη κοῦ καὶ πονηροῦ … καὶ μολοχοῦ δὲ λοιοῖς καὶ ἀπαταίοις ἐντεθραμμένου ἐοικέναι … καὶ τῆς ἐμμένων σοφίας … ποιεῖσθαι τὴν κατὰ … ποιεῖται δὲ καὶ μνήμην τοῦ πάντων ἡμῶν σωτῆρος χυ· περιέχει δὲ καὶ ἐπαγγελίαν ὡς παρ' αὐτοῦ γενομένης σωτηρίας … πρὸς ἐπικουρίαν τῶν ὑπὸ τοῦ διαβόλου πλεονεκτουμένων καὶ ἵνα τὸ πλανώμενον ἐπ' ἀρετὴν ἀλλάξῃ … δὲ ὑπὲρ τῆς ὀγδόης καθ' ἣν ἡ ἀνάστασις καὶ ἡ τῶν ἐθνῶν … κλήσεως :

ΔΙΔΥΜΟΥ

πληθυνθείσης τῆς ἀνθρώπου τινὸς ἀπάτης καὶ κακίας ὡς μὴ εἶναι ἔλεος καὶ ἀλήθειαν καὶ ἐπίγνωσιν θεοῦ ἐπὶ τῆς γῆς ὑπὲρ καταλύσεως τῆς ὑπαρξάσης κακίας χρεία γέγονε τῆς τοῦ σωτῆρος πρὸς ἡμᾶς ἐπιδημίας :

ΘΕΟΔΩΡΟΥ

… τῆς παρουσίας … παρακαλῶ ἀπολαῦσαι ἐπειδὴ κινδυνεύει τῆς ἀληθείας ἀποσβῆναι τὸ χρῆμα πάντων ὡς ἔπος εἰπεῖν τὴν πρὸς ἀλλήλους ἀπιστίαν … ταῦτα λέγεται σαφέστερον τὰ τολμώμενα :

ΘΕΟΔΩΡΗΤΟΥ

ὁσίους ἐνταῦθα καλεῖ τοὺς ἀληθινὴν τὴν διάνοιαν ἔχοντας τὴν φιλίαν ὡς ὅσιόν τι καὶ μάλα θαυμαστὸν διαπραττομένους:
τὸ ὠλιγώθησαν ἀντὶ τοῦ ἐξέλιπον … οὕτω γὰρ καὶ σύμμαχος φησὶν … ἀντὶ τοῦ οὐκ ἔτι παρ' οὐδενὶ ἡ ἀλήθεια:
ΕΞ διακαλεῖ … τὴν καθ' ἑαυτὸν γενεάν· λέξει γὰρ καὶ προϊών· σὺ κε φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα· τοιαύτη γὰρ ἡ προτέρα γενεὰ περὶ ἧς ἔφη καὶ ὁ σωτήρ· ἄνδρες νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινοῦσιν αὐτήν· καὶ βασίλισσα νότου καὶ τὰ ἑξῆς· καὶ πάλιν οὕτως ἵνα τί ἡ γενεὰ ἡ πονηρὰ ταύτη· οὐκ ἀδίκως δὲ ταύτης κατηγορεῖ φησὶν ὁ προφήτης· ἀλλ' ὅτι μηδεὶς ὅσιος ἐν αὐτῇ μηδεὶς ἀληθής· ἐπεὶ οὖν μηδένα μοι σωτηρίας αἴτιον εὑρίσκω· αὐτός μοι κε τούτου γενοῦ· διελέγχει δὲ τῶν ἰουδαίων τὴν ἀπιστίαν περὶ ὧν φησὶ καὶ μωσῆς· υἱοὶ οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς· ὅτι δὲ μάταια ἐλάλουν ἐπιβουλεύοντες τῷ σωτῆρι καὶ δολίως αὐτῷ προσερχόμενοι σαφῶς ἡ τῶν εὐαγγελίων διδασκαλεῖ γραφή :

ΘΕΟΔΩΡΗ

λέγοι δ' ἂν καὶ περὶ τῶν δοκούντων αὐτοῦ φίλων ὁ δαυῒδ τὰ πολέμια ἐργαζομένων καὶ ὅτι δόλους λαλοῦντες … ἀλλήλων καρδίας αὐτοὺς παραπέμπουσιν :

ΔΙΔΥΜΟΥ

καὶ ἐν ἱερεμίᾳ δὲ εἴρηται· ἕκαστος τῷ πλησίον αὐτοῦ καταπαίξεται ἀλήθειαν οὐ μὴ λαλήσωσιν· μεμάθηκεν ἡ γλῶσσα αὐτῶν λαλεῖν ψευδῆ· ἀλήθεια δὲ εἰπεῖν καὶ οὐκ ἀλήθεια τὸ μὲν διὰ τὰς διαφόρους αἱρέσεις τὰς ἐν τοῖς … τὸ δὲ διὰ τὰς ἐν τοῖς δόγμασι κακοδοξίας :

ΘΕΟΔΩΡΟΥ

ὑποκρίνονται φιλίαν καὶ τὰ πολέμια ἐργάζονται :

ΘΕΟΔΩΡΗΤΟΥ

μάταια ἀντὶ τοῦ δολερὰ κοινῶς δὲ μάταια οἶδεν ἅπαντα καλεῖν τὰ ἄτοπα … παρὰ τῶν πραττόντων γινόμενα :

ΘΕΟΔ

μεγαλολόγου φησὶν ἀλλήλοις προσδιαλέγονται καὶ οὕτως τοῖς χείλεσι χρώμενος … καρδίαν … παραπέμπει καὶ κεῖνος πάλιν ὁμοίως ἀντιπέμπει τὰ ὅμοια ἐντεῦθεν λοιπὸν αὐτοῖς ἀπολλ … τιμωρίαν
ΗΣΥΧ τὰ χείλη φησὶν τῇ καρδίᾳ … καὶ ἡ καρδία τοῖς χείλεσι δόλου … ἡ διάνοια τῶν ἰουδαίων· … γὰρ καὶ ἡ γλῶσσα … καὶ διὰ τοῦτο προσιόντες ἐπείραζον … τὸν ἀπείραστον :

ΙΑ Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ Δαδ:

Σῶσόν με κε ὅτι ἐκλέλοιπεν ὅσιος ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων :

Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ : χείλη δόλια ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ ἐλάλησε κακά:

Ἐξολοθρεύσαι κς πάντα τὰ χείλη τὰ δόλια γλῶσσαν μεγαλορήμονα: τοὺς εἰπόντας τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν τὰ χείλη ἡμῶν παρ' ἡμῶν ἐστί· τίς ἡμῶν κς ἐστιν :

ΘΕΟΔΩΡΟΥ

τί δὲ τῆς μεγαλορημοσύνης τὸ εἶδος ἢ τοῦτο· οὐ καυχῶνται γάρ φησιν μετρίως … τοὺς λόγους … ἀπολαβεῖν ἐθέλουσι νόμους ἀλλ' … ὀνόμασι κεχρημένοι μετὰ ἀδείας … φθέγγονται· τῆς θείας μακροθυμίας καταφρονοῦντες καὶ μηδὲ … ἀπονοίας νομίζοντες τοιοῦτος ἦν ὁ φαραὼ διὸ … καὶ ἔλεγεν οὐκ οἶδα τὸν κν· τοιοῦτος ἦν ὁ ῥαψάκης λέγειν τολμῶν … ὅτι … δύναται … ἐκ χειρός μου· τοιοῦτος ναβουχοδονόσορ τοὺς γενναίους ἐκείνους διαλεγόμενος παῖδας καὶ λέγειν οὐ φρίττων τίς ἐστὶν θς ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου· ἀλλ' ὅμως κακεῖνοι ποινὴν … ἐτόλμησαν καὶ οὗτοι περὶ ὧν ὁ προφητικὸς διεξεισι λόγος τὰς ἀξίας τίσουσι δίκας καὶ τοῦτο σημαίνει ἐπήγαγεν :

ΘΕΟΔΩΡΗΤΟΥ

λέγουσιν γάρ φησιν ὅτι ἐξουσίας ἡμῖν ἐστιν ἃ βουλόμεθα φθέγγεσθαι … καὶ δεῖ … τοῦτο δὲ ὡς πάντως λεγόντων ἐκείνων φησιν … τῷ πράγματι δεικνύντων … ἅπαντα πραττόντων οὐκ ὄντος :

ΚΡΙΤΟΥ

ΗΣΥΧ ἀλλὰ μὲν χρὴ τὸ τοιοῦτο προσεύχεσθαι· οὐδὲν γὰρ οὕτως ὡς ὑπερηφανεία καὶ δόλος διαφθείρει … τὸν ἅγιον :
ΕΥ θῦ γὰρ ἦν … τῆς ἐκείνων περιγενέσθαι κακίας καὶ … λόγους … ὁμοίως δὲ τῷ φαραὼ φήσαντι οὐκ οἶδα τὸν κν· καὶ αὐτοὶ φασί τίς ἡμῶν κς ἐστιν νομίζοντες εἶναι κύριοι διὰ τῶν ἰδίων λόγων· τὴν τοῦ σρς … διδασκαλίαν· … ταῦτα δὲ ἦν … φαρισαίων καὶ … χείλη … προσιόντων τῷ σωτῆρι καὶ ῥαββὶ καλούντων αὐτόν· λάθρα δὲ κατ' αὐτοῦ τυρευόντων· μεγαλορήμονες δὲ ἦσαν οἱ πρεσβύτεροι καὶ οἱ ἀρχιερεῖς τοῦ λαοῦ τολμῶντες ἀνακρίνειν τὸν σρα καὶ λέγειν αὐτῷ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς· καὶ τίς σοι ἔδωκεν τὴν ἐξουσίαν ταύτην:
ΕΞ ἐξολοθρεύσαι δὲ τὰ χείλη … ἐπὶ … ἀνακύψῃ τὸ πρόσωπον τοῦ θῦ … τὰ χείλη :

ΔΙΔΥΜΟΥ

ὁ γὰρ … τοῦ στόματος ἐξολοθρεύων … δολίαν χρῆσιν αὐτῶν· εἴρηται γὰρ ἐν παροιμίαις· περίελε ἀπὸ σοῦ σκολιὸν στόμα· καὶ ἄδικα χείλη μακρὰν ἀπὸ σοῦ ἄπωσαι· οἱ δὲ περὶ ὧν ὁ λόγος … τυγχάνοντες προφέρονται φωνὴν τὴν ἐν τῷ ἰὼβ λέγοντες ἕκαστος … ἀπ' ἐμοῦ· ὁδούς σου εἰδέναι οὐ βούλομαι τί ἱκανὸς ὅτι δουλεύσομεν αὐτῷ:

Οὐ περιόψομαι γὰρ αὐτοὺς ὀλοφυρομένους καὶ στένοντας διὰ τὴν εἰς αὐτοὺς τολμωμένην παρανομίαν, ἅμα τὴν μακροθυμίαν καταπροέμενος, ὑπομονὴν ἀποσεισάμενος περιφανῆ καὶ λαμπρὰν αὐτῶν τὴν σωτηρίαν ποιήσομαι· οὕτω γὰρ ὁ σύμμαχος ἡρμήνευσε· τάξω σωτήριον ἐκφανεῖς καὶ διδάσκων ὡς ἀληθῶς εἶναι τὰ εἰρημένα προτέθεικεν:

κυρίλλου

Ἐξεγερθήσεσθαι λέγει καὶ οὔτι που φαμὲν σωματικὴν εἶναι τὴν ἀνάστασιν ἤτοι τὴν ἔγερσιν ἀλλ' οἷον τὸ διαναστῆναι λοιπὸν ἐπὶ τῷ δεῖν τοῖς κάμνουσι χεῖρα ὀρέγειν καὶ τὴν σώζουσαν:

ὠριγένους

Ὁ Παῦλός φησι καὶ τὸ ταλαίπωρος ἐγὼ ἄνθρωπος· καὶ τὸ ὡς πτωχοὶ πολλοὺς δὲ πλουτίζοντες· καὶ τὸ μέχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν· καὶ τὸ ὄντες ἐν τῷ σκήνει στενάζομεν:

Καὶ ἄλλως δὲ τῶν ἀλαζονευομένων στένουσιν οἱ πτωχοὶ τὴν τυραννίδα μὴ φέροντες· διό φησιν ὁ κύριος· ἀναστήσομαι ὡς ἂν θήσομαι τὴν βουλὴν ἐν σωτηρίῳ· παρρησιάσομαι ἐν αὐτῷ κατὰ τῶν ὑπερηφάνων καὶ τῆς ταλαιπωρίας ἀπαλλάξω τοὺς πένητας κατὰ τὸν τῆς ἐπιδημίας καιρὸν ἀναστὰς καὶ πρὸς ἡμᾶς ἀφικόμενος ὡς φανερωθῆναι τὴν σωτηρίαν τῶν ἐξ ὧν ταλαιπωρίας καὶ τοῦ στενάζειν γεγενημένων· τοιγαροῦν ὁ Παῦλος εἶπεν ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου ἐπήγαγεν· εὐχαριστῶ τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ δηλῶν ὡς φανερῶς ὅτι κύριος ὁ ῥυσάμενος τὸν ταλαιπωροῦντα διὸ εἶχε σῶμα θανάτου· ὁ καὶ νῦν λέγων νῦν ἀναστήσομαι· φασὶ δὲ πτωχοὺς μὲν τοὺς ἐκπεσόντας πλούτου· πένητας δὲ τοὺς ἐκ πόνου τὰ πρὸς τὸν βίον πορι-ζομένους· λέγει δὲ ἡ γραφὴ πλούσιοι ἐπτώχευσαν· καὶ τὸ ἐπτώχευσαν μὲν σφόδρα· καὶ περὶ τοῦ σωτῆρος ὡς ἐπτώχευσε δι' ἡμᾶς πλούσιος ὢν ἵνα ἡμεῖς πλουτήσωμεν τῇ αὐτοῦ πτωχείᾳ· λέγει δὲ καὶ τοῦ στεναγμοῦ τῶν πενήτων ὡς στενόντων ἐπὶ τῷ πόνῳ· τὸ δὲ θήσομαι ἐν σωτηρίῳ δηλοῖ τὸ ὁρίσω καὶ ποιήσω ὥστε καὶ τὸ ὃν ἔθηκε κληρονόμον πάντων ὅ ἐστιν ἀνέδειξεν· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα ἦν ἔθετο ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους καὶ τὰ ἑξῆς· καὶ πρὸ τοῦ ὁ πρεσβυτέρους τῆς ἐκκλησίας· ὑμᾶς ἔθετο τὸ πνεῦμα τὸ ἅγιον ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν ὁρίσθαι καὶ ποιηθῆναι σημαίνον:

ὠριγένους

Ἐξεθήσω ῥίζων δὲ ἐν σωτηρίᾳ· ταύτῃ ἡ παρρησιαζόμενος ἐν αὐτῷ· ἦ γὰρ συνειδήσεις αὐτοῦ οὐ καταγινώσκει:

εὐσεβίου

Ἢ καὶ οὕτως· οἱ πτωχοὶ δι' ἐμὲ καὶ πένητες γενόμενοι τῷ πνεύματι στένουσιν ἀεὶ ταπεινούμενοι προσέχοντες μου τῷ λόγῳ· καὶ τούτοις ἐν αἷς λιμῷ διαπεσόντες ὧν ἕνεκεν ἀναστήσομαι καὶ κατὰ τὸ ἔργον τῆς μιᾶς ἀναστάσεως θήσομαι πᾶσιν αὐτοῖς· ἐν ᾧ πέρασμα δὲ ἀλλὰ παρρησιάσομαι κατορθώματι:

θεοδώρου

Τὸ ἑπταπλασίως ἀντὶ τοῦ πολυπλασίως τέθεικεν· τοῦτο γὰρ συνήθης τῇ θείᾳ γραφῇ· τουτέστιν ἀμώμητα οὐ γὰρ κατ' οὐδὲν ἀτροπον λαμπρὰ δὲ οὕτως ἐστὶν καὶ κεκαθαρμένα ὡς δοκεῖν ἀργύριον εἶναι πεπυρωμένον δὲ οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις· τοῦτο γὰρ οἶμαι δηλοῦν τὸ ἑπταπλασίως· δεδοκιμασμένα τοῖς ἐπὶ τῆς γῆς τοῦ σωτῆρος τὰ λόγια:

εὐσεβίου

Ὁ δὲ ἄργυρος πολλάκις πυρούμενος ἀμιγὴς ἑτέρας ὕλης ἐστίν· οὕτω καὶ ἀπαράτρεπτα τοῦ κυρίου τὰ λόγια:

ὠριγένους

Καὶ γὰρ καλὰ ἐστὶν ἀληθῶς λόγια παρὰ τοῖς οὐκ ἔχουσι τῆς μερίδος κυρίου οὐκ ἔστιν ἁγνὰ ἀλλ' ἐστὶν δόλοις μυρίοις ἐμπεφυρμένα:

θεοδώρου

Ὑπὸ γὰρ τῆς σῆς φρουρούμενοι χάριτος οὐ μόνον τῆς παρὰ σοῦ γενεᾶς ταύτης διαφευξούμεθα ἀλλὰ καὶ τῆς αἰωνίου σωτηρίας τευξόμεθα:

Διὰ τοῦτό φησιν φυλάξεις ἡμᾶς ἐπειδὴ κυκλοῦντες κυκλοῦσιν ἡμᾶς οἱ ἀσεβεῖς ἐπιβουλεύονται τῇ ἡμῶν σωτηρίᾳ· οὗτοι δ' ἂν εἶεν οἱ ἀντικείμενοι καὶ πονηραὶ δυνάμεις:

εὐσεβίου

Ἐπειδὰν φυλάξῃς τοὺς σοὺς πτωχοὺς κύριε καὶ ἐπειδὰν ἡμᾶς περιτειχίσεις ἅμα τῇ ἐρχομένῃ γενεᾷ τῇ καλουμένῃ αἰωνίᾳ οἱ παράνομοι τότε ἐκτὸς γενόμενοι τῆς εἰς πάντας ἀνθρώπους χυθείσης μέν σου χάριτος κύκλῳ περιπατήσουσι· ἔξω ροὶ γενησόμενοι τῶν σωζομένων καὶ τοῦτο ἐστιν ὅταν ὑψωθῇς υἱοὺς ἀνθρώπων εἰς πολὺ τῶν ἀνθρώπων:

θεοδ

Τὸ δὲ ἀπὸ τῆς γενεᾶς ταύτης προσυπακούεσθαι τὸ τῆς πονηρᾶς· οὕτω γὰρ καὶ ἡ ἀκολουθία σώζεται πρὸς ἀμφότερα· τουτέστιν ἀπὸ τῶν ἀνθρώπων τῆς γενεᾶς ταύτης τῆς πονηρᾶς:

θεοδώρου

Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι λέγει κύριος· θήσομαι ἐν σωτηρίῳ· παρρησιάσομαι ἐν αὐτῷ:

Τὰ λόγια κυρίου λόγια ἁγνά· ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ κεκαθαρισμένον ἑπταπλασίως:

Σὺ κύριε φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα:

Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι· κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων:~

Οἱ μὲν οὖν δυσσεβείας ζῶντες τὴν εὐθεῖαν καταλιπόντες ὁδὸν τὴν διὰ κύκλου περιπλανῶνται κυκλοῦν καὶ οἷον εἰ πολιορκεῖν τοὺς ἐπὶ σὲ κεκραγότας πειρώμενοι· σὺ δὲ ἀπὸ τοῦ τῆς φύσεως ὕψους φαινόμενος τῆς σῆς ἀξιοῖς κηδεμονίας τοῖς ὑποκειμένοις πολεμουμένοις· γνώμεν ἀνθρώπων ἐν ταῖς θλίψεσι μετὰ ταραχῆς δὲ τελείαν τὴν σωτηρίαν δωρούμενος:

εὐσεβίου

Ἐπειδὴ ὁ κύκλος τῇ εὐθείᾳ ἐναντίος ἐστὶν κατὰ τὴν σκολιότητα καὶ ἐν εὐθύτητι ὁ δὲ ἀσεβεῖς κύκλῳ περιπατοῦσιν οἱ εὐσεβεῖς ἄρα εὐθείαν περιπατοῦσιν:

θεοδ

Ἐπειδὴ τοὺς ὑπὸ τῶν ἀσεβῶν κυκλωθέντας οὐκ ἔνεστιν ἑτέρως τὴν τούτων ἀπαλλαγὴν εὑρασθαι μὴ τῷ θεῷ μόνῳ τῷ χρωμένῳ:

Κατὰ τοῦτο δὲ τὸ σημαινόμενον τοῦ διατηρεῖν καὶ ὁ σωτὴρ περὶ τῶν μαθητῶν ἔλεγε τῷ πατρί· πάτερ ἅγιε τήρησον αὐτούς· ὅτε ἤμην μετ' αὐτῶν ἐγὼ ἐτήρουν αὐτούς· ἔστι γὰρ ἕτερον σημαινόμενον· καθὸ περὶ τοῦ Ἀδὰμ λέγεται πρὸς τὸν ὄφιν· αὐτός σου τηρήσει κεφαλὴν σὺ δὲ τηρήσεις αὐτοῦ πτέρναν· ἀντὶ τοῦ ἐπιτηρήσει· ὅταν δὲ τὴν ἐντολὴν τηρήσωμεν τὴν πάσῃ φυλακῇ τηρεῖσθαι καρδίαν ὡς οὐκ αὐταρκεῖ τοῦ σπουδαζομένου τυχεῖν ἂν ἐπιμελεύτως· ἐὰν γὰρ μὴ κύριος φυλάξῃ πόλιν εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων αὐτήν· εὐχὴν δὲ τῷ δυναμένῳ προσάγομεν· τὴν σὺ κύριε φυλάξεις ἡμᾶς· ἐν ὑψηλοῖς γὰρ ὑπάρχων κατὰ τὸ πολὺ ὕψος τῆς ἀγαθότητος τοσούτους τοὺς υἱοὺς τῶν ἀνθρώπων ἐπολυώρησας· κρίνας αὐτοὺς ἀξίους εἶναι τοῦ προστασίαν ἔχειν ἐκ προνοίας τῆς σῆς:

θεοδωρήτου:

Καὶ τοῦτον εἰς ἑαυτὸν ᾄδει τὸν ψαλμὸν ὁ μέγας Δαυῒδ οὐ μὴν ὑπὸ τοῦ Σαοὺλ διωκόμενος. ἀλλ᾽ ὑπὸ τοῦ Ἀβεσσαλὼμ πολεμούμενος. τὰ μὲν γὰρ κατὰ τὸν Σαοὺλ πρὸ τῆς ἁμαρτίας ἦν· καὶ διὰ τοῦτο μετὰ πολλῆς ἔλεγε παρρησίας· τὰ δὲ κατὰ τὸν Ἀβεσσαλὼμ μετὰ τὴν ἁμαρτίαν· διὰ τοῦτο κλαυθμὸς καὶ θρῆνος τοῖς λόγοις ἐγκέκραται:

ἀθανασίου

Τοῦτον ᾄδει τὸν ψαλμὸν ἐν μετανοίᾳ τοῦ ἁμαρτήματος γενόμενος ἅμα δὲ καὶ τὸ ὅριον ἡμῖν ἐργαζόμενος διὰ τοῦ θλιβόμενον ὑπογραμμὸν πῶς δεῖ ἡμᾶς ἐν ἁμαρτίαις γενομένους προσιέναι τῷ θεῷ:

θεοδώρου

Τὴν ἀναβολὴν τῆς κηδεμονίας ἐπιλησμονὴν προσηγόρευσεν· παρακαλεῖ δὲ μὴ εἰς τέλος ἐπιλησθῆναι τουτέστι μὴ παντελῶς τῆς θείας γυμνωθῆναι προνοίας:

ἡσυχίου

Ἡ γὰρ λήθη χαλεπὴ μὲν καὶ ἡ πρόσκαιρος· ἡ δὲ εἰς τέλος θάνατον ἐπιφέρει παντελῆ καὶ ἀθάνατον:

εὐσεβίου

Διὰ τὸ τέλος τὸ παρὰ τοῦ θεοῦ πάντα πρὸ τούτου τέλους ἀνδρικῶς ἠγωνίζετο· τὸ δὲ εἰς τέλος ὁ τῶν πόνων ἐστὶ καρπὸς ζωὴ αἰώνιος καὶ βασιλεία οὐρανῶν προξενῶν. εὐχόμενος οὖν τὸ τέλος ἀπολαβεῖν μετὰ τὴν ὁδὸν τὴν τοῦ θεοῦ· κατὰ δὲ τὴν ἀρχὴν ὡς ἀγωνιζόμενος ἔτι τὰς πρώτας προσφέρει φωνάς. λήθην δὲ θεοῦ ποιεῖται τὸν ἐπιλανθανόμενον αὐτοῦ διὰ τῆς ἁμαρτίας· ἀποστρέφει καὶ τὸ πρόσωπον ἀπὸ τῶν αἰσχρόν τι πραττόντων· ἀναξίους εἶναι κρίνας τῆς ἐποπτείας αὐτοῦ· διόπερ ὑπὸ τοῦ συνειδότος ἐλεγχόμενος καὶ τὴν τοῦ θεοῦ δικαίαν κρίσιν ἐπάγει:

θεοδώρου

Ἐκ μεταφορᾶς τῶν ὀργιζομένων καὶ τοὺς προσκεκρουκότας ὁρᾶν οὐ βουλομένων τέθεικεν· τουτέστι τὸ πρῶτον διὸ μετ᾽ ὀλίγον λέγει: ἀγωνιῶ μὲν γάρ φησι βουλευόμενος κατὰ ψυχὴν μήπως ἄρα ἐν τῇ ἁμαρτίᾳ ἀποθανοῦμαι· καὶ τοῦτό ἐστιν ὃ μάλιστα ὀδύνας μοι τῇ ψυχῇ κατασκευάζει:

θεοδωρήτου

Εἰκὸς ἦν αὐτὸν τούτου μόνου φροντίζοντα τοῦτον ἔχειν καὶ κατηλλαγμένον ἐκεῖ ἀπὸ τε διαλογίζεσθαι φοβούμενον ἐν τῇ ψυχῇ ἄρα καὶ τῇ καρδίᾳ μοι ὁ θεὸς ἀπαρτίζεται τῆς κατ᾽ ἐμοῦ ὀργῆς καὶ ὀργίζεται ἔτι καὶ ὅσα τοιαῦτα· τοῦτο οὖν φησιν ἕως πότε τὰ τοιαῦτα ἐνθυμηθήσομαι καὶ βουλεύσομαι μέχρι ἀποστρέφῃς τὸ πρόσωπον φησὶν τουτέστιν ὀργίζῃ κατ᾽ ἐμοῦ ἀναγκάζομαι ταῦτα ὑπονοεῖν καὶ ταῦτα λογίζεσθαι:

ιβ

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυΐδ:

Ἕως πότε κύριε ἐπιλήσει μου εἰς τέλος ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ:

Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός:

Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ᾽ ἐμέ· ἐπίβλεψον εἰσάκουσόν μου κύριε ὁ θεός μου φώτισον τοὺς ὀφθαλμούς μου μήποτε ὑπνώσω εἰς θάνατον:

